1252

3.

N. Inv. 4252

Ex Libris Gasparis Columna
Cieciszowski 1766. 5ta 9bris
Romae pretio 12 bajoconi Roma
norum

BIBLIOTH: UNIV:
JAGELLONICAE

# ΕΚΛΕΚΤΑ
ΤΩΝ
# ΕΛΛΗΝΙΚΩΝ
ΓΡΑΦΕΩΝ.

# SELECTA
EX GRÆCIS
## SCRIPTORIBUS

BIBLIOTH: UNIV: JAGELLONICAE

ROMÆ, MDCCXLV. 1745
Typis Joſephi Collini.
SUPERIORUM FACULTATE.

Si vendono a Paſquino nella Libraria
di Gio: Lorenzo Barbiellini.

# ΦΙΛΕΛΛΗΝΙ JUVENTUTI

## TYPOGRAPHUS S.

OPTABAM jamdiu, Adolescentes optimi, vobis, qui Græcæ linguæ datis operam, industria prodesse mea; quod fuit in caussa, cur de aliquo Græci Scriptoris opere formis excudendo cogitarem. Multi illi quidem tum ex Oratoribus, tum etiam ex Poëtis occurrebant animo; Verum hi, licet versu alliciant, ac

teneant, adeo tamen dialectis implexi plerumque sunt, ut Tirones facile in ipso veluti limine deterreant, atque a Græcæ linguæ studio ita abjiciant, ut, ex quo maximus fructus sperabatur, id maxime sit fraudi: illorum vero scripta, quamvis captu faciliora sint, magnamque utilitatem contineant, ac pariant, quum tamen & poëtica amœnitate, qua maxime ducimur, destituantur, & dialectis, quæ ad perfectam græci sermonis cognitionem sunt maxime necessariæ, si paucos demas, omnino careant, non sola legenda arbitror. Iccirco quo magis consultum vobis prospectumque foret, & utilitatem amœnitati conjunctam haberetis, illud mihi sumsi, ut nonnulla ex utrisque selige-

ligerem, atque eo ordine conlocarem, ut a facilioribus, & ad Tironum captum magis accommodatis ad difficiliora fieret transitus, quo fore confido, ut nihil a rudioribus, nihil ab eis, qui aliquantum profecerint, desideretur. Valete.

*Imprimatur*,

Si videbitur Rm̃o Patri Magiſtro Sacri Palatii Apoſtolici.

*F. M. Archiepiſcopus Tarſi Viceſgerens.*

*Imprimatur*,

Fr. Nicolaus Ridolfi Magiſter Sacri Palatii Apoſtolici Ordinis Prædicatorum.

# ΛΟΥΚΙΑΝΟΥ ΔΙΑΛΟΓΟΙ.

## Κροῖσος, Πλούτων, Μένιππος Μίδας, Σαρδανάπαλος.

α΄.

ΚΡ. Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα· ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον. ΠΛ. Τί δ᾽ ὑμᾶς δεινὸν ἐργάζεται ὁμόνεκρος ὤν; ΚΡ. Ἐπειδὰν ἡμεῖς οἰμώζομεν, καὶ στένομεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας

μὲν οὗτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ τῶν θησαυρῶν, ἐπιγελᾷ, καὶ ἐξονειδίζει, ἀνδράποδα, καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν· ἐνίοτε δὲ καὶ ᾄδων ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς· καὶ ὅλως λυπηρός ἐστι. ΠΛ. Τί ταῦτα φασὶν, ὦ Μένιππε; ΜΕ. Ἀληθῆ, ὦ Πλούτων· μισῶ γὰρ αὐτοὺς ἀγεννεῖς, καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται, καὶ περιέχονται τῶν ἄνω· χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς. ΠΛ. Ἀλλ᾽ οὐ χρή, λυποῦνται γὰρ οὐ μικρῶν στερούμενοι. ΜΕ. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς. ΠΛ. Οὐδαμῶς· ἀλλ᾽ οὐκ ἂν ἐθελήσαιμι στασιάζειν ὑμᾶς. ΜΕ. Καὶ μὴν, ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσσυρίων, οὕτω γινώσκετε, ὡς οὐδὲ παυσομένου μου, ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν,

καὶ κατᾴδων, καὶ καταγελῶν. ΚΡ. Ταῦτα οὐχ ὕβρεις; ΜΕ. Οὐκ· ἀλλ' ἐκεῖνα ὕβρεις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες· τοιγαροῦν οἰμώζετε πάντων ἐκείνων ἀφῃρημένοι. ΚΡ. Πολλῶν γε, ὦ θεοί, καὶ μεγάλων κτημάτων. ΜΙ. Ὅσου μὲν ἐγὼ χρυσοῦ. ΣΑ. Ὅσης δ' ἐγὼ τρυφῆς. ΜΕ. Εὖγε, οὕτω ποιεῖτε, ὀδύρεσθε μὲν ὑμεῖς· ἐγὼ δὲ τὸ γνῶθι σαυτὸν πολλάκις συνείρων, ἐπᾴσομαι ὑμῖν· πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

Ἑρμῆς, Χάρων.

β'.

ΕΡ. Λογισώμεθα, ὦ Πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμέν τι

περὶ αὐτῶν. ΧΑ. Λογισώμεθα, ὦ Ἑρ-
μῆ· ἄμεινον γὰρ ὁρίσαι περὶ αὐτῶν, καὶ
ἀπραγμονέστερον. ΕΡ. Ἄγκυραν ἐν-
τειλαμένῳ ἐκόμισα πέντε δραχμῶν.
ΧΑ. Πολλοῦ λέγεις. ΕΡ. Νὴ τὸν Ἀϊ-
δωνέα, τῶν πέντε ὠνησάμην, καὶ τρο-
πωτῆρα δύο ὀβολῶν. ΧΑ. Τίθει πέντε
δραχμὰς, καὶ ὀβολοὺς δύο. ΕΡ. Καὶ
ἀκέστραν ὑπὲρ τοῦ ἱστίου, πέντε ὀβολοὺς
ἐγὼ κατέβαλον. ΧΑ. Καὶ τούτους προσ-
τίθει. ΕΡ. Καὶ κηρὸν ὡς ἐπιπλάσαι τοῦ
σκαφιδίου τὰ ἀνεωγότα, καὶ ἥλους δὲ,
καὶ καλώδιον, ἀφ' οὗ τὴν ὑπέραν ἐποίη-
σας, δύο δραχμῶν ἅπαντα. ΧΑ. Εὖ-
γε ἄξια ταῦτα ὠνήσω. ΕΡ. Ταῦτά
ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν
τῷ λογισμῷ· πότε δ' οὖν ταῦτ' ἀπο-
δώσειν φής. ΧΑ. Νῦν μὲν, ὦ Ἑρμῆ,
ἀδύνατον, ἢν δὲ λοιμός τις, ἢ πόλε-
μος καταπέμψῃ ἀθρόους τινὰς, ἐνέσται
τότε ἀποκερδᾶναι ἐν τῷ πλήθει παρα-

λο-

λογιζόμενον τὰ πορθμία. ΕΡ. Νῦν οὖν ἐγὼ καθεδοῦμαι, τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολαύοιμι. ΧΑ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ· νῦν δὲ ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ. ΕΡ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπὸ σοῦ ὄφλημα· πλὴν ἀλλ' οἱ μὲν παλαιοί, ὦ Χάρων, οἶσθα οἷοι παρεγίνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεῳ, καὶ τραυματίαι οἱ πολλοί· νῦν δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν, ἢ ὑπὸ τῆς γυναικὸς, ἢ ὑπὸ τρυφῆς ἐξῳδηκὼς τὴν γαστέρα, καὶ τὰ σκέλη· ὠχροὶ γὰρ ἅπαντες, καὶ ἀγεννεῖς, οὐδὲ ὅμοιοι ἐκείνοις· οἱ δὲ πλεῖστοι αὐτῶν διὰ χρήματα ἥκουσιν, ἐπιβουλεύοντες ἀλλήλοις, ὡς ἐοίκασι. ΧΑ. Πάνυ γὰρ περιπόθητά ἐστι ταῦτα. ΕΡ. Οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.

## Ἥφαιστος, καὶ Ζεύς.

γʹ.

ΗΦ. Τί με, ὦ Ζεῦ, δεῖ ποιεῖν; ἥκω γὰρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθους δέοι μιᾷ πληγῇ διατεμεῖν. Ζ. Εὖγε, ὦ Ἥφαιστε, ἀλλὰ δίελέ μου τὴν κεφαλὴν εἰς δύο, κατενεγκών. ΗΦ. Πειρᾷ μου, εἰ μέμηνα; πρόσταττε δ' οὖν τ' ἀληθὲς, ὅπερ θέλεις σοὶ γενέσθαι. Ζ. Διαιρεθῆναί μοι τὸ κρανίον, εἰ δὲ ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ μου· ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ τῶν ὠδίνων, αἵ μου τὸν ἐγκέφαλον ἀναστρέφουσιν. ΗΦ. Ὅρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι, καὶ οὐκ ἀναιμωτὶ, οὐδὲ κατὰ τὴν Εἰλείθυιαν μαιώσεταί σε. Ζ. Κατένεγκε

μό-

μόνον, ὦ Ἥφαιστε, θαρρῶν· οἶδα γὰρ ἐγὼ τὸ συμφέρον. ΗΦ. Ἄκων μὲν κατοίσω δέ· τί γὰρ οὐ χρὴ ποιεῖν, σοῦ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος; μεγὰ, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γοῦν ὀξύθυμος ἦσθα, τηλικαύτην ὑπὸ τὴν μήνιγγα παρθένον ζωογονῶν, καὶ ταῦτα ἔνοπλον· ἦπου στρατόπεδον, οὐ κεφαλὴν ἐλελήθεις ἔχων· ἡ δὲ πηδᾷ καὶ πυρριχίζει, καὶ τὴν ἀσπίδα τινάσσει, καὶ τὸ δόρυ πάλλει, καὶ ἐνθουσιᾷ· καὶ τὸ μέγιστον, καλὴ πάνυ, καὶ ἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ· γλαυκῶπις μὲν, ἀλλὰ κοσμεῖ καὶ τοῦτο ἡ κόρυς· ὥστε, ὦ Ζεῦ, μαιωτρά μοι ἀπόδος ἐγγυήσας μοι αὐτήν. Ζ. Ἀδύνατα αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος γὰρ ἀεὶ θέλει μένειν· ἐγὼ γοῦν τόγε ἐπ' ἐμοὶ, οὐδὲν ἀντιλέγω. ΗΦ. Τοῦτ' ἐβουλόμην· ἐμοὶ μελήσει τὰ λοιπά. Καὶ ἤδη συναρπάσω αὐτήν. Ζ. Εἴ σοι ῥᾴδιον, οὕτω

ποίει·

ποίει· πλὴν οἶδα, ὅτι ἀδύνατων ἐρᾷς.

Μένιππος, καὶ Κέρβερος.

δ'.

ΜΕ. Ὦ Κέρβερε, συγγενὴς γάρ εἰμί σοι, κύων καὶ αὐτὸς ὤν, εἰπέ μοι πρὸς τῆς Στυγὸς, οἷος ἦν ὁ Σωκράτης, ὁπότε κατῄει πρὸς ὑμᾶς; εἰκὸς δὲ σὲ θεὸν ὄντα μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπικῶς φθέγγεσθαι, ὁπότε ἐθέλοις. ΚΕ. Πόῤῥωθεν μὲν, ὦ Μένιππε, παντάπασιν ἐδόκει ἀτρέπτῳ προσώπῳ προσιέναι, καὶ οὐ πάνυ δεδιέναι τὸν θάνατον δοκῶν, καὶ τοῦτο ἐμφῆναι τοῖς ἔξω τοῦ στομίου ἑστῶσιν ἐθέλων· ἐπεὶ δὲ κατέκυψεν εἴσω τοῦ χάσματος, καὶ εἶδε τὸν ζόφον, κἀγὼ ἔτι διαμέλλοντα αὐτὸν δακὼν τῷ κωνείῳ κατέσπασα τοῦ ποδὸς, ὥσπερ τὰ βρέφη

ἐκώ-

ἐκώκυε, καὶ τὰ ἑαυτοῦ παιδία ὠδύρετο, καὶ παντοῖος ἐγένετο. ΜΕ. Οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν, καὶ οὐκ ἀληθῶς κατεφρόνει τοῦ πράγματος; ΚΕ. Οὐκ ἀλλ' ἐπείπερ ἀναγκαῖον αὐτὸ ἑώρα, κατεθρασύνετο, ὡς δῆθεν οὐκ ἄκων πεισόμενος, ὃ πάντως ἔδει παθεῖν, ὡς θαυμάσωνται οἱ θεαταί· καὶ ὅλως περὶ πάντων τῶν γε τῶν τοιούτων εἰπεῖν ἂν ἔχοιμι, ἕως τοῦ στομίου τολμηροὶ, καὶ ἀνδρεῖοι, τὰ δ' ἔνδοθεν, ἔλεγχος ἀκριβής. ΜΕ. Ἐγὼ δὲ πῶς σοι καταληλυθέναι ἔδοξα; ΚΕ. Μόνος, ὦ Μένιππε, ἀξίως τοῦ γένους, καὶ Διογένης πρὸ σοῦ· ὅτι μὴ ἀναγκαζόμενοι ἐσῄειτε, μηδ' ὠθούμενοι· ἀλλ' ἐθελούσιοι, γελῶντες, οἰμώζειν παραγγείλαντες ἅπασιν.

Δι-

Διογένης, Μαύσωλος.

ε.

ΔΙ. Ὦ Κὰρ, ἐπὶ τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν προτιμᾶσθαι ἀξιοῖς; ΜΑ. Καὶ ἐπὶ τῇ βασιλείᾳ μὲν, ὦ Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνίων· καὶ νήσους δέ τινας ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐπέβην, τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος· καὶ καλὸς ἦν, καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός· τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ἐπικείμενον, ἡλίκον οὐκ ἄλλος νεκρὸς, ἀλλ᾽ οὐδὲ οὕτως ἐς κάλλος ἐξησκημένον, ἵππων, καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων, λίθου τοῦ καλλίστου, οἷον οὐδὲ νεὼν εὕρῃ τις ἂν ῥᾳδίως· οὐ δοκῶ σοι δικαίως ἐπὶ τούτοις μεγαφρονεῖν;

ΔΙ.

ΔΙ. Ἐπὶ τῇ βασιλείᾳ φῂς, καὶ τῷ κάλλει, καὶ τῷ βάρει τοῦ τάφου; ΜΑ. Νὴ Δί' ἐπὶ τούτοις. ΔΙ. Ἀλλ' ὦ καλὲ Μαύσωλε, οὔτε ἡ ἰσχὺς ἔτι σοὶ ἐκείνη, οὔτε ἡ μορφὴ πάρεστιν· εἰ γοῦν τίνα ἑλοίμεθα δικαστὴν εὐμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν τίνος ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη ἂν τοῦ ἐμοῦ· φαλακρὰ γὰρ ἄμφω, καὶ γυμνά· καὶ τοὺς ὀδόντας ὁμοίως προφαίνομεν, καὶ τοὺς ὀφθαλμοὺς ἀφῃρήμεθα, καὶ τὰς ῥῖνας ἀποσεσιμώμεθα· ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι, Ἁλικαρνασσεῦσι μὲν ἴσως εἶεν ἐπιδείκνυσθαι, καὶ φιλοτιμεῖσθαι πρὸς τοὺς ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτοῖς ἐστίν· σὺ δὲ ὦ βέλτιστε, οὐχ ὁρῶ ὅ, τι ἀπολαύεις αὐτοῦ, πλὴν εἰ μὴ τοῦτο φῂς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πιεζόμενος. ΜΑ. Ἀνόνητα οὖν μοι ἐκεῖνα πάντα· καὶ ἰσότιμος ἔσται Μαύσωλος, καὶ Διογένης;

ΔΙ.

ΔΙ. Οὐκ ἰσότιμος, ὦ γενναιότατε· οὐ γάρ. Μαύσωλος μὲν γὰρ οἰμώξεται, μεμνημένος τῶν ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο. Διογένης δὲ καταγελάσεται αὐτοῦ· καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἐρεῖ ἑαυτοῦ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς, καὶ ἀδελφῆς κατεσκευασμένον· ὁ Διογένης δὲ τοῦ μὲν σώματος, εἰ καί τινα τάφον ἔχει, οὐκ οἶδεν· οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου· λόγον δὲ τοῖς ἀρίστοις περὶ αὐτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκὼς ὑψηλότερον, ὦ Καρῶν ἀνδραποδωδέστατε, τοῦ σοῦ μνήματος, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

# ΙΣΟΚΡΑΤΟΥΣ
## ΠΡΟΣ
# ΔΗΜΟΝΙΚΟΝ
## ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ.

ἘΝ πολλοῖς μὲν ὦ Δημόνικε πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας, πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις· οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν· οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι· καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε· τὰς δὲ τῶν σπουδαίων φιλίας, οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομέ-

νους, καὶ παιδείας ἀντιποιουμένους. τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητάς, ἀπέσταλκά σοι τὸν δὲ τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας, πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν· ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον, σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ, καὶ σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ, ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν, ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι

πε-

200

δῶρον ου τὸ donum

τεκμήριον certum signum, argumentum

πρὸς cum acc. inter, apud, contra
iuxta ad. in, similiter

ἡμεῖς nos. Pron. Primi.

σημεῖον signum, miraculum

ἱππόνικος Hipponicus Calliae pater

γὰρ enim, nam, conj. causalis

παῖς, παιδὸς ὁ καὶ ἡ, filius, puer.

ὥσπερ. sicut, quemadmodum

οὐσία, substantia, patrimonium. essentia, natura

οὕτω, sic, hoc modo, tantopere.

πατρικὸς, ή, ὸν paternus

κληρονομέω, haeres sum.

ὁρῶ, ὁράω video

τύχη ης ἡ, fortuna, sors.

συλλαμβάνω, comprehendo

συλλαμβάνομαι, opitulor

καιρὸς οῦ ὁ occasio, opportunitas, tempus

συναγωνίζομαι, una certo

ἐπιθυμέω, concupisco desidero.

παιδεύω, erudio, castigo. instituo

ἄλλος λη, λο, alius, a. ud.

ἐπιχειρέω, conor, aggredior

ἀλλὰ μὴν adhuc, etiamnum, tamen

φιλοσοφέω ῶ, philosophor, disserto, dissero.

ἐπανορθόω, ῶ, corrigo, dirigo

ὅσος, η, ον, quantus, ille qui

οὖν igitur, itaque, ergo, propterea

ἑαυτοῦ sui ipsius

προτρεπτικὸς adhortatorius

συγγράφω, conscribo

καλὸς ου ὁ, ή, όν, pulcher, bonus

μὴν tamen, quidem

περὶ cum Acc. circa, erga, adversus, per, ex, de, circum, circiter

κράτιστος η, ον, optimus, validissimus

διατρίβω, versor, commoror, dego.

νεώτερος α, ον, junior.

εἰσηγέομαι, adduco, duce me praebeo

διὰ cum gen. per, inter, ex

δεινότης, ητος ἡ, solertia, facultas, atrocitas

ἀσκέω, exerceo, doceo, orno

ὅπως ut, quomodo

+ γε quidem, certe, aliquando γε ὁ syllabica adjectio

τρόπος ου, ὁ, modus, mores consuetudo, formula, mutatio

ἤθη, ῶν τὰ mores

Πεφύω nascor, φύω sum.

δοκέω ῶ video, censeo, existimo, probo

τοσοῦτος αύτη, οῦτο tantus a um

μᾶλλον magis μάλα valde

ἐκεῖνος η, ο, ille a, ud pridem.

Ἀκούω, audio, obedio
Ὠφελέω ῶ, juvo, prosum, utilis, commodo afficio
Ἐπὶ cu. ai. sup, adversus, pro, sub, ad
Παρακαλέω ῶ rogo, precor, hortor, consolor, advoco, consulto
Αὐτός ή όν, ipse a um Pron. Rel.
Ἐπανορθόω ῶ corrigo.
Διόπερ quapropter, ὅπερ quod.
Παράκλησις εως ἡ consolatio, admonitio, exhortatio, advocatio
Εὑρίσκω invenio, deprehendo.
Παραίνεσις εως ἡ admonitio adhortatio consilium.
γράφω scribo.
μέλλω, futurus sum, cunctor, differo, protraho, moror, debeo videor, existimor
συμβουλεύω, simul consulto, consilium do
Χρή, impers. oportet
Ποῖος, α, ον, qualis e. οἷος qualis.
Τίς, τίνος, τι, neut. quis, quid?
Τὶς τινὸς indef. aliquis, quidd.
Ἄνθρωπος, ου ὁ ἡ, homo
Ὁμιλέω ῶ colloquor, conversor
Πῶς int. quomodo, qua ratione
Οἰκονομέω rego, sum dispensator
οὗτος, αὕτη, τοῦτο, hic, haec hoc
Ὁδός οῦ ἡ, via, auxilium, insidiae
Πορεύομαι proficiscor

Πορεύω, ago, duco, impello, mitto
Μόνος η, ον, solus & unicus
Ἀρετή ῆς ἡ, virtus
Ἐφικνέομαι, οῦμαι, pervenio
Γνησίως, legitime, genuine
Δύναμαι, σαι, ται, possum, valeo
Οὐδείς ενός ὁ, οὐδεμία ας ἡ οὐδέν, ενός τό, nullus, a um
Κτῆμα ατος τό, possessio, lucrum, res, facultates.
Σεμνότερος praestantior
Οὐδέ neque.
Βέβαιος ου ὁ ἡ, stabilis, firmus
Εἰμί sum.
Κάλλος εος τό pulchritudo
Ἀναλίσκω consumo
ἤ vel, an, quam
Νόσος ου ἡ morbus, pestis
Μαραίνω, marcesco, tabesco
Πλοῦτος, ου ὁ divitiae
Κακία ας ἡ, malitia, vitium.
Καλοκἀγαθία, ας ἡ probitas
Ὑπηρέτης ου ὁ, minister, remex
Ἐξουσία, ας ἡ, licentia
Ῥαθυμία, ας ἡ, desidia, remissio animi, ignavia
Παρασκευάζω, praeparo apparo

πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον
ἐκείνων τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον
οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν,
οἱ δὲ καὶ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι·
διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες,
ἀλλὰ παραίνεσιν γράψαντες, μέλλο-
μέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεω-
τέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχε-
σθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν,
καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν, ὅσοι
γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθη-
σαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνη-
σίως ἐδυνήθησαν, ἧς οὐδὲν κτῆμα σε-
μνότερον, οὐδὲ βεβαιότερόν ἐστι· κάλ-
λος μὲν γὰρ ἢ χρόνος ἀνάλωσεν, ἢ νόσος
ἐμάρανε· πλοῦτος δὲ κακίας μᾶλλον,
ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν, ἐξου-
σίαν μὲν τῇ ῥαθυμίᾳ παρασκευάζων,
ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρα-
καλῶν, ῥώμη δὲ μετὰ μὲν φρονήσεως
ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς

ἔχον-

ἔχοντας ἔβλαψε, καὶ τὰ μὲν σώματα τῶν ἀσκηθέντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν. ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει, πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί· τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα, δυνατὰ καθιστῶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένουσα· καὶ τὸν μὲν ὄκνον, ψόγον, τὸν δὲ πόνον, ἔπαινον ἡγουμένη· ῥᾴδιον δὲ τοῦτο καταμαθεῖν ἐστιν ἔκ τε τῶν Ἡρακλέους ἄθλων, καὶ τῶν Θησέως ἔργων· οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων. οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθεὶς, οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ᾽ ἐμοῦ λεγομένων. οὐδὲ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς,

Ἡδονή ῆς ἡ, voluptas jucun- dita
Νέος ου ὁ, juvenis novus.
Ῥώμη, ης ἡ, robur, potentia, sanitas
Μετά cu' gen. cu' per, inter
Φρόνησις εως ἡ, prudentia
Ὀφέλλω, adjuvo, augeo
Ἄνευ, absque sine
Πολύς multus. 166 221.
Ἔχω, habeo possu, administro
Βλάπτω, laedo, noceo
Σῶμα, ατος τὸ corpus
Ἀσκέω exerceo, decoro, orno.
Κοσμέω ῶ, orno, como, rego.
Ψυχή ῆς ἡ, anima, animus, vita, spiritus, ingenium
Ἐπιμέλεια ας ἡ, cura, studium
Ἐπισκοτέω obtenebro
Κτῆσις εως ἡ possessio
Ἀκριβδήλως, pure sincere
Συναυξάνω, simul cresco.
Συγγηράσκω consenesco
Κρείττων ονος ὁ ἡ, praestantior
Χρήσιμος ου ὁ ἡ utilis
Εὐγένεια ας ἡ, nobilitas
Ἀδύνατος η ον, impotens
δυνατός η ον, potens.

Καθίστημι, ~ καθιστάω constituo, efficio, redigo.
Πληθύς υος ἡ, multitudo
Φοβερός ά, όν, formidabilis, horrendus
Θαρραλέως, audacter
Ὑπομένω, maneo sustineo tolero
Ὄκνος ου ὁ, pigritia, metus
Ψόγος ου ὁ vituperium
Πόνος ου ὁ labor, exercitatio.
Ἔπαινος ου ὁ laus
Ῥάδιον facile
Τοῦτο hoc - οὗτος
Καταμανθάνω disco
ἐκ, ἐξ cu' gen.
Ἡρακλέης Hercules
Ἆθλον, ου το, certamen
Θησεύς έως Theseus
Ἔργον ου τὸ opus
Τηλικοῦτος tantus
Εὐδοξία ας ἡ celebritas
Χαρακτήρ ῆρος ὁ character
Ἐπιβάλλω injicio, immitto
ὡς, ita ut
Ἅπας, ασα, αν, αντος omnis
Λήθη, ης ἡ oblivio
Ἐμποιέω, induco infero
Πράσσω, facio, administro adjuvo tracto, vivo.

22b

οὐ, οὐκ, οὐχ, non.
μὴν tamen quidem
προαίρεσις εως ἡ propositum instituti, electio
ἀναμνάω. ~ ἀναμιμνήσκω reminisci facio, in memoriam revoco
οἰκεῖος α, ον domesticus
Παράδειγμα, ατος τὸ exemplum plur.
ὑπὸ cum gen. a ab ex
λέγω colligo, dico, loquor
οὐδὲ neque
ὀλιγωρέω parvi pendeo
ῥαθυμέω torpeo, pigritor
διατελέω dego, permaneo
γυμνάζω exerceo
κίνδυνος periculum
Παρακαιρῶς, intempestive
ἀπολαύω fruor cum gen.
ἀγαθός, ου ὁ bonus, utilis
θνητός mortalis
Ἐπιμελέομαι [illegible] obeo, curo
τὰ ὑπάρχοντα, possessiones
ἀθάνατος immortalis
ταπεινῶς, serviliter sordide
διοικέω, administro, seorsim habito
φιλόκαλος pulchritudinis amans
μεγαλοπρεπής εος ὁ ἡ magnanimus

κοινός ου ὁ communis
θαυμάζω miror, colo
σπουδάζω sedulo ago, studeo
γένος εος τό genus, familia
προσήκει pertinet impersonale
ἑταιρεία ας, ἡ, societas
φύσις εως ἡ natura, ratio
νόμος, lex
ἀνάγκη ης, ἡ necessitas
οὐ μὴν ἀλλὰ καὶ, verum enim vero
ἐπιλείπω deficio
εἰ, si conj. connexiva.
Πρᾶξις, εως ἡ, factum, actio transactio, successus rerum.
Καταριθμέω, recenseo, enumero
ἀκριβές, εος τό, exquisitum, accuratum, singulare.
ἕτερος, ου ὁ alter
Δηλόω declaro
Δεῖγμα, ατος τό, exemplum, signum, specimen.
φύσις, εως ἡ, natura recta ratio, natura
νῦν. ~ νυνί attice, nunc.
ἐξενηνόχαμεν 1. plur. Perf. medii verbi irregul. ἐκφέρω effero.
δεῖ oportet, ζάω, vivo.

της, οὐδὲ ῥαθυμίᾳ, διετέλεσε τὸν βίον·
ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμνα-
ζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμει-
νεν· οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγά-
πα· ἀλλ' ἀπήλαυε μὲν τῶν παρόντων
ἀγαθῶν ὡς θνητὸς, ἐπεμελεῖτο δὲ τῶν
ὑπαρχόντων ὡς ἀθάνατος· οὐδὲ τα-
πεινῶς διῴκει τὸν ἑαυτοῦ βίον, ἀλλὰ φι-
λόκαλός τε ἦν, καὶ μεγαλοπρεπὴς, καὶ
τοῖς φίλοις κοινὸς· καὶ μᾶλλον ἐθαύμα-
ζε τοὺς περὶ αὐτὸν σπουδάζοντας, ἢ τοὺς
τῷ γένει προσήκοντας· ἡγεῖτο γὰρ εἶναι
πρὸς ἑταιρείαν πολλῷ κρείττω φύσιν νό-
μου, καὶ τρόπον γένους, καὶ προαίρεσιν ἀνάγ-
κης· ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος,
εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθ-
μησαίμεθα, ἀλλὰ τὸ μὲν ἀκριβὲς
αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν·
δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξε-
νηνόχαμεν, πρὸς ὃ δεῖ ζῆν σε, ὥσπερ
πρὸς παράδειγμα, νόμον μὲν τὸν ἐκεί-

νου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γενόμενον· αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. ἡγοῦμαι δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω +προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐφάμιλλος γενήσῃ τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν· οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι, τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον. τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε· διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι' ὧν ἂν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι· πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεοὺς, μὴ μόνον θύων, ἀλλὰ καὶ

τοῖς

προσήκειν

24a

ἡγέομαι, duc..., duco, existimo

ζηλωτής οῦ ὁ, zelotes, accen-
sus zelo, aemulator, invidus,
sectator, q nullu admittit rivale

Πατρῷος, ῴος, ῴα, ῷον, patrius

γενόμενος, η ον, ar. part. m. à
γένομαι nascor, sum

Αἰσχρὸς ά, όν, turpis, e.

γραφὶς ίδος ἡ stylus, et pictor.

ἀπεικάζω, assimilo, conjecto

ζῶον ου τὸ, animal,

μιμέομαι, οῦμαι, imitor

γονεὺς έος, ὁ, parens.

ἀθλητὴς ου ὁ, luctator

προσήκει, convenit, attinet

ἀνταγωνιστής, q cu aliquo certat

ἀσκέω, exerceo, decoro, orno

σκοπέω, speculor, considero,
contemplor, specto, accurate cogito.

ἐπιτήδευμα, ατος τὸ, studium
institutum.

διατίθημι, dispono

ἀδύνατον impossibile

ἄκουσμα, ατος τό, res quae auditur

πληρόω impleo

πέφυκε, ita a natura di-
sposita

αὐξάνω, augeo, cresco

σύμμετρος ου ὁ moderatus

πειράω ῶ conor, nitor, tento

συντόμως, concise, breviter

ὑποτίθημι suppono.

πλεῖστον, multissime, plurime

ἐπιδίδωμι, insuper do, cresco

εὐδοκιμέω bene audio
clarus sum.

πρῶτον inprimis

εὐσεβέω, ῶ colo, sum pius

θύω macto, sacrifico, sacris
operor, odores accendo, suffio,
epulor, festino, impetu facio

ὅρκος ȣ ὁ jusjurandu, sacramentu

ἐμμένω, permaneo, persevero,

χρῆμα ατος τό, res utilis, pecunia, opes, merx, oraculu, opus factu, in pl. τὰ χρήματα, pecuniae, opes

εὐπορία, ας ἡ, facultas, copia

δαιμόνιον ȣ τό, numen, fortuna, spiritus impurus

ἀεὶ semper.

μάλιστα maxime, μάλα valde, μᾶλλον magis

μετά, cu gen. cu acc. inter.

πόλις εως, ἡ, urbs, civitas

ἅμα, adverb. una, simul

τοιȣ̃τος, τοιαύτη, τοιȣ̃το talis e, ex τοῖος, et ȣ̃τος, hic

γίγνομαι γίνομαι fio, sum.

περὶ cu acc. circa, circit, circu cogi, adverbium et ex de.

εὔχομαι dico precor, vota nuncupo, opto, glorior, jacto

σεαυτȣ̃ tui ipsius

γυμνασία ας, ἡ, et γυμνάσιον ȣ τὸ exercitatio

ὑγίεια ας, ἡ sanitas, bona valetudo

συμφέρω, conduco, prosum, utilis sum, comporto.

ἐπιτυγχάνω assequor

λήγω cesso, desino, quiesco

ἔτι, adhuc, insuper, diutius

πονέω laboro, vexo, fatigo

στέργω, amo, adamo, acquiesco, sum contentus, aequi boni facio, naturaliter amo

γέλως ωτος ὁ risus

προπετὴς, εος ὁ ἡ, praeceps, pronus, procax, effrenis

ἀποδέχομαι, excipio, admitto

θάρσος εος τό, audacia

ἀνόητος, ȣ ὁ ἡ, demens

μανικὸς furiosus.

νομίζω, lege sancio, puto, existimo, consuesco, legem impono, ritu aliquem instituo

ἐθίζω, assuefacio

σκυθρωπός, qui est vultu tetrico, moesto, torvo.

σύνȣ, conversabilis, benevolus

αὐθάδης, εος ὁ ἡ, sibi placens, qui se ipsum admiratur, superbus, contumax

φρόνιμος, prudens, providus

ἡγέομαι, duco, existimo

τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ, τῆς τῶν τρόπων καλοκἀγαθίας τεκμήριον. τίμα τὸ δαιμόνιον ἀεὶ μὲν, μάλιστα δὲ μετὰ τῆς πόλεως· οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν· τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας· ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα· τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ λήγεις τῶν πόνων ἔτι πονεῖν δυνάμενος. μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου, τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν. ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σύννουν· διὰ ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις. ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν,

 κόσ-

κόσμον, αἰσχύνην, δικαιοσύνην, σω-
φροσύνην· τούτοις γὰρ ἅπασι δοκεῖ κρα-
τεῖσθαι τὸ τῶν νεωτέρων ἦθος. μηδέποτε
μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν·
καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ
γε συνειδήσεις. τὸν μὲν θεὸν φοβοῦ,
τοὺς δὲ γονεῖς τίμα. τοὺς δὲ φίλους
αἰσχύνου, τοῖς δὲ νόμοις πίθου· τὰς ἡδο-
νὰς θήρευε, τὰς μετὰ δόξης. τέρψις γὰρ
σὺν τῷ καλῷ μὲν, ἄριστον, ἄνευ δὲ τού-
του, κάκιστον. εὐλαβοῦ τὰς διαβολὰς
κἂν ψευδεῖς ὦσιν, οἱ γὰρ πολλοὶ την μὲν
ἀλήθειαν ἀγνοοῦσιν, πρὸς δὲ τὴν δό-
ξαν ἀποβλέπουσιν. ἅπαντα δόκει ποιεῖν
ὡς μηδένα λήσων, καὶ γὰρ παραυτίκα
κρύψῃς, ὕστερον ὀφθήσῃ· μάλιστα δ' ἂν
εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράτ-
των, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπι-
τιμῴης. ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ καὶ πο-
λυμαθής. ἃ μὲν ἐπίστασαι, διαφύλαττε
ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας,
προσ-

χόσμος, ου, ὁ, mundus, ornatus, pulchritudo.
αἰσχύνη, pudor
δικαιοσύνη justitia
σωφροσύνη temperantia
χρατέω teneo, apprehendo vinco, domo, fortiter impero
ἦθος εος τὸ, domicilium natale solum, consuetae sedes, indoles, natura, ingenium mores proprietas.
μηδέποτε, nunquam
ἐλπίζω spero.
λήθω, λανθάνω, lateo celo.
συνείδημι, conscius sum
φοβέω, timorem injicio terreo. φοβέομαι, metuo terreor, trepido, expavesco.
αἰσχύνομαι me pudet
πείθομαι, persuadeor, assentior, obedio, pareo,
θηρεύω, feras venor, insidiose observo, capto
τέρψις εως ἡ, oblectatio, delectatio
εὐλαβέομαι, vereor, caveo.
κἄν etsi, quamvis
ψεύδης εος ὁ ἡ, fallax mendax
ἀγνοέω, ignoro.

ἀποβλέπω, intueor respicio, oculos converto
παραυτίκα, confestim.
κρύπτω, abscondo, celo, occulto
ὄπτομαι, videor, video, appareo
εὐδοκιμέω, bene audio clareo
φαίνομαι, appareo, videor, luceo
ἐπιτιμάω, objurgo
διαφυλάττω, custodio, servo
μελέτη ης ἡ meditatio, cura, exercitatio, commentatio
ἐπίσταμαι σαι, ται, peritus sum, scio,
ἐπιστήμη scientia, peritia, ars
μανθάνω v. i. disco, intelligo, deprehendo, cognosco.
ἐάν, si
φιλομαθής, εος ὁ ἡ discendi cupidus, disciplinae studiosus
πολυμαθής, εος ὁ ἡ qui multa didicit, multiscius, eruditus

86

προλαμβάνω, praeoccupo, praeripio, praecurro, anteverto, praesentio opinor existimo.
δίδωμι dono, do, constituo
λαμβάνω, capio, consequor, convinco, damno
καταναλίσκω, consumo, absumo, extenuo
σχολὴ, otium, vacatio, lucubratio, schola.
φιληκοΐα, audiendi cupiditas
χαλεπῶς difficulter
συμβαίνω, evenio, contingo, transigo, paciscor, foedus ineo, consentio
ταχέως, celeriter, cito, continuo
ἀπολείπω, derelinquo
παραμένω, permaneo, persto.
κατοκνέω, tergiversor, piget me timeo
μακρὸς, ὰ ὸν, longus altus, porrectus, longinquus.
πορεύομαι proficiscor
πορεύω, ago duco, deduco, ire jubeo, facio ire, mando mitto
διδάσκω doceo
ἐπαγγέλλω indico, denuncio

ἐπαγγέλλομαι polliceor, profiteor, spondeo
ἔμπορος mercator.
πέλαγος εος τό, mare
διαπεράω trajicio, penetro
ἕνεκα causa
πλείω contr. pro πλείονα οα, ω, α πλεῖον plus.
ὑπάρχων praesens
ἐσία res familiaris.
πορεία actio, iter,
ὑπομένω sustineo
βελτίω contr. pro βελτίονα, ὰ βελτίων, melior.
καθίστημι constituo efficio.
διάνοια mens
τρόπος, mos
γίνομαι sum
φιλοπροσήγορος affabilis.

περιλάμβανε ταῖς ἐπιστήμαις. ὁμοίως
γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ
μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν
παρὰ τῶν φίλων μὴ λαμβάνειν. κατα-
νάλισκε τὴν ἐν τῷ βίῳ σχολὴν, εἰς τὴν
τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλ-
λοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι
ῥᾳδίως μανθάνειν. ἡγοῦ τῶν ἀκουσμά-
των πολλὰ, πολλῶν εἶναι χρημάτων
κρείττω. τὰ μὲν γὰρ ταχέως ἀπολείπει,
τὰ δὲ πάντα τὸν χρόνον παραμένει·
σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον.
μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι
πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγ-
γελλομένους. αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπό-
ρους τηλικαῦτα πέλαγη διαπερᾷν ἕνεκα
τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐ-
σίαν, τοὺς δὲ νεωτέρους μὴ δὲ τὰς κατὰ
γῆν πορείας ὑπομένειν, ἐπὶ τῷ βελτίω
καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν. τῷ
μὲν τρόπῳ γίγνου φιλοπροσήγορος, τῷ

δὲ λόγῳ εὐπροσήγορος. ἔστι δὲ φιλοπροσηγορίας μὲν, τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας· εὐπροσηγορίας δὲ, τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ. τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μὴ δὲ μακρὰς περὶ τῶν αὐτῶν. πλησμονὴ γὰρ ἁπάντων. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο, καὶ τοὺς ἀκουσίους ὑπομένειν. ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις· τῇ δὲ ὀργῇ παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας· ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν

ὑπο-

λόγος, sermo
εὐπροσήγορος urbanus
φιλοπροσηγορία affabilitas
προσφωνέω appello
ἀπαντάω occurro
οἰκείως familiariter
ἐντυγχάνω colloquor.
ἡδέως suaviter
ἔχω habeo
πρὸς apud,
χράομαι utor
βέλτιστος optimus
οὕτω ita, sic
ἀπεχθὴς molestus
εἰμὶ sum,
ὁ μὲν ille,
ὁ δὲ, hic,
γένομαι fio
ἔντευξις εως, collocutio
μὴ ne,
πυκνὸς ἡ ὀν creber
ποιέω facio
μακρός ἀ ὀν longus
περὶ cū gen. de
πλησμονὴ satietas
ἑκούσιος ὁ ἡ voluntarius

ἀκούσιος involuntarius
ὑπο cum gen. a.
κρατέω teneo, apprehend. vincio, domo
ἐγκράτεια continentia
ἀσκέω exerceo, doceo, orno
κέρδος εος τὸ lucrum
ὀργὴ iracundia
ἡδονὴ voluptas
λύπη dolor.
εὐπορέω abunde possum
est mihi facultas, abundo.
παραπλησίως consimiliter
πρὸς cū ac. erga
ἁμαρτάνω pecco, aberro
ἀξιόω dignor, aequum cen
seo, dignum esse duco,
opere pretium esse existimo,
peto, postulo, opto.
τερπνὸς ἡ ὀν jucundus
venustus.
τερπνὸν ου τὸ delectatio,
voluptas
ἂν si

ὑπολαμβάνω existimo, puto, suscipio, presumo, suspicor, conjicio, deprehendo
οἰκέτης ου ὁ, servus, domesticus.
ἄρχω impero, principatum obtineo, magistratum gero, incipio, hi origo, ductor,
δουλεύω servio
λυπρός molestus, tristis
ἀτυχία calamitas
ἐπιβλέπω respicio
ὡς quod, ὑπομιμνήσκω recordor, tum pono, recenseo, admoneo, ante oculos
τηρέω servo, tueor, custodio
παρακαταθήκη depositum, sponsio, pignus.
παρέχω exhibeo, prebeo.
τρόπος modus, mores, consuetudo, formula, exemplum, ratio, mutatio, commutatio
πιστός ἡ όν fidelis, fide dignus
φαίνομαι, appareo, videor
πονηρός improbus
πιστεύω credo, fidem habeo
χρηστός optimus, bonus
ἀπιστέω diffido.
περὶ cum gen. de
ἀπόρρητον τὸ arcanum, secretum
πλὴν preterquam
ἐὰν si
ὁμοίως, aeque

πρᾶξις εως ἡ res.
σιωπάω sileo, conticesco
κἀκείνοις pro καὶ ἐκείνοις
ἐπακτός ἡ όν, aliunde ad nos adductus, adscititius
διά cum ac. ob.
πρόφασις causa
ἀπολύω, libero
διασώζω servo, eripio
ὀμόω juro, jurando confirmo
ἐπιορκέω pejero, pejero
φιλοχρημάτους avaros
πρὶν prius
ἄν. quam
ἐξετάζω, exquiro, examino.
πῶς quomodo
χράομαι utor

ὑπο
δ' ἠδ
ἐφ' ἧς,
βλέπ
ὑπομ
λόγω
θήκη
τρόπο
μένου
ἀπισ
πεῖ
ἐὰν ὁ
θαι
ἀκού
διά
αἰσχ
διασ
θεὸν
λης.
δὲ φι
ποιοῦ

ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν. ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν, ὡς ἄνθρωπος ὢν, ὑπομιμνήσκῃς. μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας. δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους. προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν. ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων· ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. μηδένα φίλον ποιοῦ πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται

τοῖς προτέροις φίλοις. ἔλπιζε γὰρ αὐτὸν, καὶ περὶ σὲ γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε. βραδέως μὲν φίλος γίγνου, γενόμενος δὲ, πειρῶ διαμένειν. ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. τοῦτο δὲ ποιήσεις, ἂν μὴ δεόμενος, τὸ δεῖσθαι προσποιῇ. περὶ τῶν ῥητῶν, ὡς ἀπορρήτων ἀνακοίνου· μὴ τυχὼν μὲν γὰρ, οὐδὲν βλαβήσῃ· τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ. δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν. οὕτω δ' ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθῇς.

καὶ, etiam

βραδέως tarde

πειράω conor, tento, pi-

ἑταῖρος ὁ sodalis

μεταλάττω, muto

μήτε neque

μετὰ cũ gen. cũ.

βλάβη damnũ

ἄπειρος ignarus, imperitus

θέλω ~ ἐθέλω volo, de-

δέω necesse habeo, ligo

προσποιέομαι οῦμαι, simu-

lo, pre me fero, acquiro.

περὶ cũ gen. de-

ῥητόν, dicendũ, certũ.

ἀπόρρητον arcanũ, secretũ

ἀνακοινόω communico

μὲν γὰρ, enim

τυχὼν οντος, ὁ consecutus

a. 2. part. v. τυγχάνω

βλάπτω lædo, noceo

ἐπίσταμαι scio

δοκιμάζω experior

περὶ cũ accus. circa

ἀτυχία infelicitas

χρυσίον aurũ

πῦρ ignis

ἄριστα optime

περιμένω expecto

παρὰ cum gen. ab.

δέησις εως, deprecatio, preces

αὐτεπάγγελτος ὁ

ipse indicans, sponte pol-

licens, non rogatus

καιρὸς occasio, opportunitas

βοηθέω ῶ, auxilior,

succurro.

νικάω vinco, supero
κακοποιΐα ας, ἡ, injuria, versutia, maleficium.
ἡττάομαι ῶμαι superor inferior evado
εὐεργεσία beneficium,
ἀποδέχομαι excipio, recipio, admitto, probo
δυσχεραίνω ἐπί cum dat, in gravor, molestè fero
φθονέω invideo, aemulor, reprehendo
συναχθομαι condolesco
καλῶς bene, pulchre, recte
πράττω facio, ago, administro, adjuvo, tracto, vivo, exigo.
πρός cum ac. apud
ἵνα ut
ὀλιγωρέω parvi facio
περί cum ac. ad.
ἐσθής, ῆτος, vestis
φιλόκαλος, elegans
καλλωπιστής οῦ ὁ, nimis pulchritudini addictus, lascive se ornans
περίεργος supervacaneum
ὑπερβάλλω excello, supero modum excedo

μέτριος α ον, moderatus
ἀπόλαυσις fruitio
καταφρονέω, contemno
σπουδάζω sedulo ago, studeo, operam do, elaboro
δὲ autem
παραπλήσιος, similiter
τοιοῦτος talis
πάσχω patior
εἴ τις, si quis
ἵππος equus
κτάομαι, possideo, acquiro
περί cum gen. circa

θῆς. ὁμοίως αἰσχρὸν νόμιζε τῶν ἐχθρῶν
νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων
ἡττᾶσθαι ταῖς εὐεργεσίαις. ἀποδέχου
τῶν ἑταίρων, μὴ μόνον τοὺς ἐπὶ τοῖς κα-
κοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ
τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. πολλοὶ
μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συνάχθον-
ται, καλῶς δὲ πράττουσι φθονοῦσι.
Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς
παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀ-
πόντων ὀλιγωρεῖν. εἶναι βούλου τὰ περὶ
τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλ-
λωπιστής. ἔστι γὰρ φιλοκάλου μὲν, τὸ με-
γαλοπρεπές, καλλωπιστοῦ δὲ, τὸ πε-
ρίεργον. ἀγάπα τῶν ὑπαρχόντων ἀγα-
θῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν,
ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. κατα-
φρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόν-
των, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυ-
ναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι
πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο

καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος. πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. ἔστι δὲ χρήματα μὲν, τοῖς χρῆσθαι δυναμένοις. κτήματα δὲ, τοῖς ἀπολαύειν ἐπισταμένοις. τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, τοῦ τε ζημίαν μεγάλην ἐκτίσαι, καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι. πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὸν ἀγάπα· στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. μηδενὶ συμφορὰν ὀνειδίσῃς. κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον. τοὺς ἀγαθοὺς εὖ ποίει. καλὸς γὰρ θησαυρὸς παρὰ ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη. κακοὺς εὖ ποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν. ἐκεῖναί τε γὰρ τοὺς διδόντας, ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν· οἵ τε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι. μίσει τοὺς κολακεύοντας.

ὥσπερ

ἱππεύω equito.

κατασκευάζω, comparo

χρήματα pecunia

τιμάω æstimo

ἕνεκα οἱ, causa eius

ζημία ας ἡ, damnum

calamitas, pœna, mullta,

detrimentum, supplicium

κτίζω resarcio, condo,

creo, fabricor, munio, cingo.

δυστυχῶν calamitosus

ὑπερβαλλόντως immodice

στέργω dilig

ζητέω quæro, studeo requiro.

συμφορά calamitas

ὀνειδίζω exprobro, convitior

τό μέλλον futurum

ἀόρατον invisibile

πάσχω patior.

στιτίζω nutrio

τυχών obvius.

ὑλακτέω latro

μισέω ῶ, odi, minus amo

κολακεύω adulor.

32b

ἐξαπατάω seduco, decipio.
πρός cum ac. circa.
φαυλότατον minimum
χαρίζομαι gratificor
ἀπεχθάνομαι sum ho-stis, offendor, inimicor, tristor, in odium, et offensionem incurro
πρός cum ac. erga
πλησιάζω conversor, appropinquo, prope accedo, admoveor, sum familiaris
ὁμιλητικός affabilis
σεμνός austerus.
ὑπεροπτικός despectivus
ὄγκος tumor
μόλις vix
καρτερέω tolero, patior, animo sustineo, fatior
ὑποφέρω suffero, sustineo
δύσερις litigiosus
δυσάρεστος inamabilis
πρός cum ac. ad
φιλόνεικος pervicax contentiosus, iracus, victoriæ amans
τραχέως aspere
ἀπαντάω occurro.
δέν ti

θυμόω ad iram provoco. concito,
εἴκω cedo
παύω facio cessare, finio, fine impono, coerceo, desino
ἐπιπλήττω increpo
περί cum ac. circa
γελοῖος ridiculus
σπουδάζω serio ago.
σπουδαῖος serius
ἄκαιρος intempestivus
πανταχοῦ ubique
χάρις ιτος ἡ. gratia gratiarum actio, gaudium, eleemosyna, venustas, benevolentia, premium, donum, munus.

ὥσπερ τοὺς ἐξαπατῶντας. ἀμφότεροι
γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδι-
κοῦσιν. ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς
πρὸς τὸ φαυλότατόν σοι χαριζομένους,
οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλ-
τιστον ἀπεχθανομένους. Γίγνου πρὸς τοὺς
πλησιάζοντας ὁμιλητικὸς, ἀλλὰ μὴ
σεμνός. τῶν μὲν γὰρ τὸν ὑπεροπτικὸν
ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν,
τῶν δὲ τὸν ὁμιλητικὸν τρόπον ἅπαντες
ἡδέως ὑποφέρουσιν. ὁμιλητικὸς δὲ ἔσῃ
μὴ δύσερις ὢν, μηδὲ δυσάρεστος, μη-
δὲ πρὸς πάντα φιλόνεικος, μηδὲ πρὸς
τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως
ἀπαντῶν, μηδ᾽ ἂν ἀδίκως ὀργιζό-
μενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις
μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς
ὀργῆς ἐπιπλήττων. μηδὲ περὶ τὰ γε-
λοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπου-
δαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαι-
ρον πανταχοῦ λυπηρόν· μηδὲ τὰς χά-

ἑταίρους ἀχαρίστως χαριζόμενος, ὅπερ πάσχουσιν οἱ πολλοί, ποιοῦντες μὲν εὖ, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες. μηδὲ φιλαίτιος ὤν, βαρὺ γάρ· μηδὲ φιλεπιτιμητὴς, παροξυντικὸν γάρ. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἂν δέ ποτέ σοι συμπέσῃ καιρὸς, ἐξανίστασο πρὸ μέθης. ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταυτὰ πάσχει τοῖς ἅρμασι, τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν· ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται διαμαρτάνοντα τῶν εὐθυνόντων, ἥ τε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας. ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πωλοῦσιν. αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας. πολλάκις γὰρ

ὧν

ἀχαρίστως ingrate
ἀηδῶς insuaviter.
ὑπεργέω inservio alicui
erequor, ministro,
φιλαίτιος querulus
βαρύ grave
φιλεπιτιμητής amator
reprehensionis, mordax
παροξυντικὸν excitatorium
εὐλαβέομαι vereor, vito
πότος, ου ὁ, compotatio
συνουσία consuetudo, conversatio, conventus, sodalitas,
societatis, coetus, necessitudo,
familiaritas, coitus, connubium
ποτέ quando, aliquando
συμπίπτω incido
ἐξανίστημι surgo
πρό cum gen. ante
μέθη ebrietas
ὅταν quando
ὑπό cum gen. a.
διαφθείρω corrumpo
ἅρμα ατος, τό currus
ἡνίοχος ου ὁ auriga

ἀποβάλλω projicio
ἀτάκτως inordinate
φέρομαι feror
διαμαρτάνω aberro.
εὐθύνω complano, dirigo
πολλά multum
σφάλλω supplanto, everto, fallo, seduco, eicio
φρονέω intelligo, cogito, sapio
statuo, desidero, curo, glorior
ultra sentio, recte judico
μεγαλόψυχος magnanimus
μείζον melius
ἀπαιδευσία ignorantia
μοχθηρόν malum
κερδαίνω lucror
προσζημιόω noceo,
damnum infero, mulcto

λυπέω tristem reddo, dolore afficio, contristo.

τιμωρία pœna

ἀπαγγέλομαι annuncio

παρεληλυθότα a. r. p. p. r. m. v. παρέρχομαι praetereo.

ἀφανές obscurum

φανερός manifestus

τάχιστος celerrimus

διάγνωσις dijudicatio

βουλεύω delibero

βραδέως lente

ἐπιτελέω perficio

κράτιστον optimum

παρά cum gen. a

εὐβουλία bonum consilium

περί cum gen. de

αἰσχύνω pudefacio, contemno, vereor

παῤῥησιάζομαι libere loquor, [illegible]

αἰσθάνομαι sentio

καταφανὴς έος ὁ ἡ manifestus, conspicuus, apertus

διοικέω administro, habito, Seboti

διανοέομαι cogito, mente agito.

ὃν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς
ἔργοις τὴν τιμωρίαν ἔδοσαν. οὓς ἂν
βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι
λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλ-
λοντας. ἀρχὴ μὲν γὰρ φιλίας ἔπαινος,
ἔχθρας δὲ ψόγος. βουλευόμενος, πα-
ραδείγματα ποιοῦ τὰ παρεληλυθότα
τῶν μελλόντων. τὸ γὰρ ἀφανὲς ἐκ τοῦ
φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν.
βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ τα-
χέως τὰ δόξαντα. ἡγοῦ κράτιστον εἶναι
παρὰ μὲν θεοῦ εὐτυχίαν, παρὰ δὲ
ἡμῶν αὐτῶν εὐβουλίαν. περὶ ὧν ἂν αἰ-
σχύνῃ παρρησιάσασθαι, βούλει δέ τισι τῶν
φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις,
ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος. οὕτω
γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ
σεαυτὸν οὐ καταφανῆ ποιήσεις. ὅταν δὲ
ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβου-
λεύεσθαι, σκόπει πρότερον πῶς ὑπὲρ τῶν
αὑτοῦ διῴκησεν. ὁ γὰρ κακῶς διανοηθεὶς

ὑπὲρ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς ξυμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψας· καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν. μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι, καὶ ζηλοῦν, ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις. ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν. εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις. ὧν γὰρ

ἂν

διοίκησις, εος, administratio



ȣδέποτε nunquam

παροξύνω incito, exacerbo.

ξυμφορά calamitas

ἀβȣλία temeritas

ἀῤῥωστία infirmitas

μιμέομαι imitor

διώκω sector.

ἀποδέχομαι excipio, amplector

recipio, admitto, probo,

ζηλόω aemulor, ambio,

invideo, magni existimo, ze-

lo moveor, desidero.

παρά cu' dat. apud

βεβαιότερος firmior.

κεῖμαι σαι, ται, jaceo,

cubo, decumbo, dicor,

dejectus sum, positus sum.

ἰσχυρός fortis

ὥσπερ quemadmodum

θεραπεύω famulor,

servio, curo, sano

κατοικέω habito, com-

moror versor, frequento

εἰς cum ac. in

ἀρχή magistratus

καθίστημι constituo

ἁμαρτάνω erro, pecco.

ἀνατίθημι sursum pono, in altum pono, sustollo impono, injungo, attribuo, imputo, propterea id.

ἀπαλλάττω discedo.

συνηγορέω auxilior

παρασκευάζω dispono

πλεονεκτέω quæstui habeo, lucror, plus possideo, plus habeo, fraudi ago, circumvenio

ἀνέχομαι tolero

ἀνέχω sustollo, tollo, erigo in altum, honoro, retineo inhibeo, cesso, desino, promineo, emineo, exsisto, attollor, exsto, extra appareo

ἵνα ut

ὀρέγομαι appeto

ἀσθένεια ~~appeto~~ imbecillitas

ἐπιείκεια æquitas

πενία paupertas

τελευτάω morior

παρασκευάζω preparo

μέτεστι contingit, adest

μοχθηρός malus

μεταλαμβάνω capio, percipio, particeps sum

ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας
ἀναθήσουσιν. ἐκ τῶν κοινῶν ἐπιμελειῶν
ἀπαλλάττου, μὴ πλουσιώτερος, ἀλλ' ἐν-
δοξότερος. πολλῶν γὰρ χρημάτων κρείτ-
των ὁ παρὰ τοῦ πλήθους ἔπαινος. μη-
δενὶ πονηρῷ πράγματι μήτε παρίστα-
σο, μήτε συνηγόρει. δόξεις γὰρ καὶ αὐ-
τὸς τοιαῦτα πράττειν, οἷάπερ ἂν τοῖς
ἄλλοις πράττουσι βοηθῇς. παρασκεύα-
ζε σεαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον,
ἀνέχου δὲ τὸ ἴσον ἔχειν. ἵνα δοκῇς ὀρέ-
γεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν,
ἀλλὰ δι' ἐπιείκειαν. μᾶλλον ἀποδέχου
δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον. το-
σούτῳ γὰρ κρείττων δικαιοσύνη χρημά-
των, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφε-
λεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν πα-
ρασκευάζει. κἀκείνων μὲν τοῖς φαύλοις
μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύ-
νατον μεταλαβεῖν. μηδένα ζήλου τῶν
ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλ-

λον

λον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας. οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ᾽ οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι. πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει. μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος. ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα. πᾶν ὅ,τι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ. πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας. νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. οὕτω γὰρ οὔτ᾽ εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος. δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις, ἄμεινον σιγᾶν.

πλεονεκτέω supero
ἦν certe
ἐλπίς, ίδος ἡ spes, dual. pl.
ὑπερέχω sū superior, antecedo
προοράω prævideo
ἐπισκοπέω consideo
προτρέχω præcurro
ἀνθρώπινον humanū
περιχαρής, εος, ὁ ἡ supra modū lætus, exultans
περίλυπος præter modū tristis
οἶσθα nosti p sync. p οἴδασθα 2 s. præt. m. Aeol. p οἶδας v. εἴδω scio.
σαφῶς clare
σιγή silentium
ἄμεινον melius

σιγᾶν, ἢ λέγειν. χαῖρε μὲν ἐπὶ τοῖς
συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ
μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κακῶν.
γίγνου δὲ τοῖς ἄλλοις, ἐν μηδετέροις
ὢν κατάδηλος. ἄτοπον γὰρ τὴν μὲν
οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν
δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν.
μᾶλλον εὐλαβοῦ ψόγον, ἢ κίνδυνον.
δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις
τὴν τοῦ βίου τελευτὴν, τοῖς δὲ σπου-
δαίοις, τὴν ἐν τῷ ζῆν ἀδοξίαν. μά-
λιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν.
ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν,
ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν
μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰ-
σχρᾶς φήμης. τὸ μὲν γὰρ τελευτῆσαι,
πάντων ἡ πεπρωμένη κατέκρινε· τὸ
δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπου-
δαίοις ἡ φύσις ἀπένειμε. καὶ μὴ θαυ-
μάσῃς εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει
σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν.
οὐδὲ

οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν· ἀλλὰ προελόμενος διὰ τῆς αὐτῆς πραγματείας ἅμα τε τοῦ παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις, τὸν δὲ συμβουλεύοντα μετ᾽ εὐνοίας χαλεπῶς εὑρήσεις. ὅπως οὖν τὰ λοιπὰ μὴ παρ᾽ ἑτέρου ζητῇς, ἀλλ᾽ ἐντεῦθεν ὥσπερ ἐκ ταμιείου προφέρῃς, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν, ὧν ἂν ἔχω σοὶ συμβουλεύειν. πολλὴν δ᾽ ἂν τῷ θεῷ χάριν σχοίην, εἰ μὴ διαμάρτοιμι τῆς δόξης, ἣν ἔχων περὶ σοῦ τυγχάνω. τῶν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ᾽ οὐ τοῖς νουθετοῦσι. σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σου παι-

παιδείαν φιλοπονίᾳ. τὸν γὰρ αὐτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι· μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονάς, τὰς ἐκ τούτων, μάλιστα γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν, καὶ ταῖς πλησμοναῖς ἀγαπᾶν, εὐθὺς αἱ λύπαι ταῖς ἡδοναῖς παραπεπήγασι. τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτὸν βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς, καὶ βεβαιοτέρας ἀποδίδωσι, κἀκεῖ μὲν πρότερον ἡσθέντες, ὕστερον ἐλυπήθημεν· ἐνταῦθα δὲ μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. ἐν ἅπασι δὲ τοῖς ἔργοις, οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν. τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον, οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ

τῶν

τῶν ἐπιβαινόντων ἕνεκα διαπονοῦμεν. ἐνθυμοῦ δὲ διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν. εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν, τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἕξειν τοὺς ἐπιπλήττοντας. πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας· εἰκότως· ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἦπου τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους οὐ φαύλους εἶναι φήσομεν; δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς χρήματα, καὶ δόξαν, καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν στοχάσασθαι δια-

νοίας,

νοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους, καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι, τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ διὰ τὴν κακίαν, ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν· οἷς χρὴ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκαγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγιγνώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν· οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρους ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. μόλις γὰρ ἄν τις

ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

44b

Ἰσοκράτης Isocrates.
πρὸς ad. cu Accus.
Δημόνικος Demonicus
λόγος, oratio
παραινετικὸς admonitoria
ἐν cu Dat. in.
ὁ πολὺς multus
μὲν quidem
ὦ o Interj. vocandi.
πολὺ multum
διεςῶς distitus, differens.
εὑρίσκω invenio deprehendo
τε ή καὶ et
σπουδαῖος studiosus bonus
γνώμη, ης. ἡ sententia
φαῦλος, ου ὁ vilis, vitiosus
διάνοια, ας ἡ, cogitatio, mens
δὲ vero, autem, igit, sed, sane
μέγιςος maximus, ὁ μέγας
διαφορὰ, ας ἡ differentia
λήβω capio. λαμβάνω
πρὸς ἀλλήλους, ad invicem
συνήθεια, ας ἡ, consuetudo
μὲν γὰρ, quidem, enimvero
φίλος, amicus
πάρων praesens, adstans
μόνον solum
τιμάω, honoro, estimo

μακρὰν longe
ἀπὼν absens
ἀγαπάω ῶ diligo, amo, osculor
συνήθεια, familiaritas
ὀλίγος ου ὁ paucus, parvus, ...
χρόνος ου ὁ tempus, annus, d...
διαλύω dissolvo
φιλία amicitia
οὐ part. neg. non.
ἂν conjunctio potentialis
πᾶς, αντος, omnis
αἰὼν ῶνος ὁ aevi, mundus, sae...
ἐξαλείφω, deleo, oblitero
ἡγέομαι, existimo, duco.
οὖν, igit, itaque, ergo inde, cert...
πρέπει decet.
δόξα ης ἡ, gloria, opinio
ὀρέγομαι appeto.
παιδεία ας ἡ eruditio
ἀντιποιέομαι, vendico, affecto...
ἀλλὰ sed
μὴ non, nisi, numquid, ne!
εἰμὶ sum
μιμητὴς imitator ου ὁ
ἀποςέλλω mitto
σὺ Tu.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΣ ΕΠΙΤΑΦΙΟΣ.

Ἐπειδὴ τοὺς ἐν τῷ τάφῳ κειμένους, ἄνδρας ἀγαθοὺς ἐν τῷ πολέμῳ γεγενημένους, ἔδοξε τῇ πόλει δημοσίᾳ θάπτειν, καὶ προσέταξεν ἐμοὶ, τὸν νομιζόμενον λόγον εἰπεῖν ἐπ' αὐτοῖς· ἐσκόπουν μὲν εὐθὺς ὅπως τοῦ προσήκοντος ἐπαίνου τεύξονται. ἐξετάζων δὲ καὶ σκοπῶν, ἀξίως εἰπεῖν τῶν τετελευτηκότων, ἕν τι τῶν ἀδυνάτων εὕρισκον ὄν. οἱ γὰρ τὴν ὑπάρχουσαν πᾶσιν ἔμφυτον τοῦ ζῆν ὑπερεῖδον ἐπιθυμίαν, καὶ τελευτῆσαι καλῶς μᾶλλον ἠβουλήθησαν, ἢ ζῶντες τὴν Ἑλλάδα

ἰδεῖν

ἰδεῖν ἀτυχοῦσαν· πῶς οὐκ ἀνυπέρβλητον παντὶ λόγῳ τὴν αὐτῶν ἀρετὴν καταλελοίπασιν; ὁμοίως μέντοι διαλεχθῆναι τοῖς πρότερόν ποτε εἰρηκόσιν ἐνθάδε καλὸν εἶναι μοι δοκεῖ. ὡς μὲν οὖν ἡ πόλις σπουδάζει περὶ τοὺς ἐν τῷ πολέμῳ τελευτῶντας, ἔκ τε τῶν ἄλλων ἔστιν ἰδεῖν, καὶ μάλιστα ἐκ τοῦδε τοῦ νόμου, καθ' ὃν αἱρεῖται τὸν ἐροῦντα ἐπὶ ταῖς δημοσίαις ταφαῖς. εἰδυῖα γὰρ παρὰ τοῖς χρηστοῖς ἀνδράσι τὰς μὲν τῶν χρημάτων κτήσεις, καὶ τῶν κατὰ τὸν βίον ἡδονῶν ἀπολαύσεις ὑπερεωραμένας, τῆς δ' ἀρετῆς καὶ τῶν ἐπαίνων πᾶσαν τὴν ἐπιθυμίαν οὖσαν. ἐξ ὧν ταῦτ' ἂν αὐτοῖς μάλιστα γένοιτο λόγων, τούτοις ᾠήθησαν δεῖν αὐτοὺς τιμᾶν. ἵν' ἣν ζῶντες ἐκτήσαντο εὐδοξίαν, αὕτη καὶ τετελευτηκόσιν αὐτοῖς ἀποδοθείη. εἰ μὲν οὖν τὴν ἀνδρείαν μόνον αὐτοῖς, τῶν εἰς ἀρετὴν ἀνηκόντων· ὑπάρχουσαν ἑώρων, ταύτην ἂν ἐπαινέσας,

σας, ἀπηλλαττόμην τῶν λόγων, ἐπειδὴ δὲ καὶ γεγενῆσθαι καλῶς, καὶ πεπαιδεῦσθαι σωφρόνως, καὶ βεβιωκέναι φιλοτίμως συμβέβηκεν αὐτοῖς, ἐξ ὧν εἰκότως ἦσαν σπουδαῖοι, αἰσχυνοίμην ἄν, εἴ τι τούτων φανείην παραλιπών. ἄρξομαι δ' ἀπὸ τῆς τοῦ γένους αὐτῶν ἀρχῆς. ἡ γὰρ εὐγένεια τῶν δὲ τῶν ἀνδρῶν ἐκ πλείστου χρόνου παρὰ πᾶσιν ἀνθρώποις ἀνωμολόγηται. οὐ γὰρ μόνον εἰς πατέρ' αὐτοῖς, καὶ τῶν ἄνω προγόνων κατ' ἄνδρα ἀνενεγκεῖν ἑκάστῳ τὴν φύσιν ἔστιν· ἀλλ' εἰς ὅλην κοινῇ τὴν ὑπάρχουσαν πατρίδα, ἧς αὐτόχθονες ὁμολογοῦνται εἶναι. μόνοι γὰρ πάντων ἀνθρώπων ἐξ ἧς περ ἔφυσαν, ταύτην ᾤκησαν, καὶ τοῖς ἐξ αὐτῶν παρέδωκαν. ὥστε δικαίως ἄν τις ὑπολάβοι, τοὺς μὲν εἰς τὰς ἐπήλυδας ἐλθόντας πόλεις, καὶ τούτων πολίτας προσαγορευομένους, ὁμοίους εἶναι τοῖς εἰσποιητοῖς τῶν παίδων·

τοῦ-

τούτους δὲ γνησίους γόνῳ τῆς πατρίδος πολίτας εἶναι. δοκεῖ δέ μοι καὶ τὸ τοὺς καρπούς, οἷς ζῶσιν ἄνθρωποι, παρ' ἡμῖν πρώτοις φανῆναι, χωρὶς τοῦ μέγιστον εὐεργέτημ' εἰς πάντας γενέσθαι ὁμολογούμενον σημεῖον ὑπάρχειν τοῦ μητέρα τὴν χώραν εἶναι τῶν ἡμετέρων προγόνων. πάντα γὰρ τὰ τίκτοντα ἅμα καὶ τροφὴν τοῖς γιγνομένοις, ἀπ' αὐτῆς τῆς φύσεως φέρει. ὅπερ ἥδε ἡ χώρα πεποίηκε. τὰ μὲν οὖν εἰς γένος ἀνήκοντα. τοιαῦτα δι' αἰῶνος ὑπάρχει τοῖς δὲ τῶν ἀνδρῶν προγόνοις. τὰ δ' εἰς ἀνδρίαν, καὶ τὴν ἄλλην ἀρετήν, πάντα μὲν κατοκνῶ λέγειν φυλαττόμενος, μὴ μῆκος ἄκαιρον ἐγγένηται τῷ λόγῳ, ἃ δὲ καὶ τοῖς εἰδόσι χρήσιμα ἀναμνησθῆναι, καὶ τοῖς ἀπείροις κάλλιστα ἀκοῦσαι, καὶ ζῆλον ἔχει πολύν, καὶ μῆκος λόγων ἄλυπον ἔχοντα, ταῦτα ἐπὶ κεφαλαίων εἰπεῖν πειράσομαι. οἱ γὰρ τῆς κοινῆς τὸν

πα-

παρόντα χρόνον γενεᾶς πρόγονοι καὶ πατέρες, καὶ τούτων ἐπάνω τὰς προσηγορίας ἔχοντες, αἷς ὑπὸ τῶν ἐν γένει γνωρίζονται, ἠδίκησαν μὲν οὐδένα πώποτε οὔτε Ἕλληνα, οὔτε βάρβαρον· ἀλλ᾽ ὑπῆρχεν αὐτοῖς πρὸς ἅπασι τοῖς ἄλλοις καλοῖς κἀγαθοῖς, καὶ δικαιοτάτοις εἶναι. ἀμυνόμενοι δὲ, πολλὰ καὶ λαμπρὰ διεπράξαντο. καὶ γὰρ τὸν Ἀμαζόνων στρατὸν ἐλθόντα ἐκράτησαν οὕτως, ὥστ᾽ ἔξω Φάσιδος ἐκβαλεῖν. καὶ τὸν Εὐμόλπου καὶ τὸν ἄλλον πολλῶν στόλον οὐ μόνον ἐκ τῆς οἰκείας, ἀλλὰ καὶ ἐκ τῆς τῶν ἄλλων Ἑλλήνων χώρας ἐξήλασαν· οὓς οἱ πρὸ ἡμῶν οἰκοῦντες πρὸς ἑσπέραν πάντες οὐδ᾽ ὑπέμειναν, οὔτ᾽ ἠδυνήθησαν κωλῦσαι. καὶ μὴν καὶ τῶν Ἡρακλέους παίδων, ὃς τοὺς ἄλλους ἔσωζε, σωτῆρες ὠνομάσθησαν, ἡνίκα ἦλθον εἰς τήνδε τὴν γῆν ἱκέται, φεύγοντες Εὐρυσθέα, καὶ πρὸς πᾶσι τούτοις, καὶ πολλοῖς ἄλλοις, καὶ

καλοῖς ἔργοις, τὰ τῶν κατοιχομένων νόμιμα οὐ περιεῖδεν ὑβριζόμενα. ὅτε τοὺς ἑπτὰ ἐπὶ Θήβας θάπτειν ἐκώλυε, Κρέων. τῶν μὲν οὖν εἰς μύθους ἀνηνεγμένων ἔργων, πολλὰ παραλιπὼν τούτων ἐπεμνήσθην, ὧν οὕτως ἕκαστον εὐσχήμονας, καὶ πολλοὺς ἔχει λόγους, ὥστε καὶ τοὺς ἐμμέτρους, καὶ τοὺς τῶν ᾀδομένων ποιητὰς, καὶ πολλοὺς τῶν συγγραφέων ὑποθέσεις τὰ ἐκείνων ἔργα τῆς αὑτῶν Μουσικῆς πεποιῆσθαι. ἃ δὲ τῇ μὲν ἀξίᾳ τῶν ἔργων οὐδέν ἐστι τούτων ἐλάττω, τῷ δ' ὑπογυώτερ' εἶναι τοῖς χρόνοις οὔπω μεμυθολόγηται, οὐδ' εἰς τὴν ἡρωϊκὴν ἐπανῆκται τάξιν, ταῦτ' ἤδη λέξω. ἐκεῖνοι τὸν ἐξ ἁπάσης τῆς Ἀσίας στόλον ἐλθόντα, μόνοι δὶς ἠμύναντο, καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν· καὶ διὰ τῶν ἰδίων κινδύνων κοινῆς σωτηρίας πᾶσι τοῖς Ἕλλησιν αἴτιοι κατέστησαν. καὶ προείρηται μὲν ὃ μέλλω λέγειν ὑπ' ἄλλων

πρότερον· δεῖ δὲ μηδὲ νῦν τοῦ δικαίου καὶ καλῶς ἔχοντος ἐπαίνου τοὺς ἄνδρας ἐκείνους στερηθῆναι. τοσοῦτον γὰρ ἀμείνους τῶν ἐπὶ Τροίαν στρατευσαμένων νομίζοιντ' ἂν εἰκότως, ὅσον οἱ μὲν ἐξ ἁπάσης τῆς Ἑλλάδος ὄντες ἀριστεῖς δέκ' ἔτη τῆς Ἀσίας ἓν χωρίον πολιορκοῦντες μόλις εἷλον· οὗτοι δὲ τὸν ἐκ πάσης τῆς Ἠπείρου στόλον ἐλθόντα μόνοι τἆλλα πάντα κατεστραμμένον, οὐ μόνον ἠμύναντο, ἀλλὰ καὶ τιμωρίαν ὑπὲρ ὧν τοὺς ἄλλους ἠδίκουν, ἐπέθηκαν. ἔτι τοίνυν τὰς ἐν αὐτοῖς τοῖς Ἕλλησι πλεονεξίας κωλύοντες, πάντας ὅσους συνέβη γενέσθαι κινδύνους ὑπέμειναν· ὅπου τὸ δίκαιον εἴη τεταγμένον, ἐνταῦθα προσνέμοντες ἑαυτοὺς, ἕως εἰς τὴν νῦν ζῶσαν ἡλικίαν ὁ χρόνος περιήγαγεν ἡμᾶς. μηδεὶς δὲ ἡγείσθω με ἀποροῦντα, ὅτι χρὴ περὶ τούτων εἰπεῖν ἑκάστου, ταῦτα τὰ πραχθέντα ἀπηριθμηκέναι. εἰ γὰρ

ἁπάντων ἀμηχανώτατος ἦν ὅ, τι χρὴ λέγειν ποιήσασθαι, ἢ ἐκείνων ἀρετὴ πολλὰ καλὰ δίδωσιν εἰπεῖν καὶ πρόχειρα, ἃ ῥᾴδιον μέν ἐστι διελθεῖν. ἀλλὰ προαιροῦμαι τῆς εὐγενείας, καὶ τὴν παρὰ τοῖς προγόνοις μεγίστων μνησθεὶς ὡς τάχιστα συνάψαι τὸν λόγον πρὸς τὰ τοῖσδε πεπραγμένα. ἵν' ὥσπερ τὰς φύσεις ἦσαν συγγενεῖς, οὕτω τοὺς ἐπαίνους ἐπ' αὐτῶν κοινοὺς ποιήσωμαι. ὑπολαμβάνων ταῦτ' ἂν εἶναι κεχαρισμένα κἀκείνοις, καὶ μάλιστ' ἀμφοτέροις, εἰ τῆς ἀλλήλων ἀρετῆς μὴ μόνον τῇ φύσει μετάσχοιεν, ἀλλὰ καὶ τοῖς ἐπαίνοις. ἀνάγκη δ' ἐν τῷ μεταξὺ διαλαβεῖν, καὶ πρὸ τοῦ τὰ τοῖσδε πεπραγμένα τοῖς ἀνδράσι δηλοῦν, καὶ τοὺς ἔξω τοῦ γένους πρὸς τὸν τάφον ἠκολουθηκότας πρὸς εὔνοιαν παρακαλέσαι. καὶ γὰρ εἰ μὲν εἰς χρημάτων δαπάνην, ἤ τινα ἄλλην θεωρίαν ἱππικῶν, ἢ γυμνικῶν ἄθλων ἐτάχθην κοσμῆσαι τὸν τά-

τά-

τάφον, ὅσῳ περ ἂν προθυμότερον καὶ ἀφειδέστερον τοῦτο παρεσκευασάμην, τοσούτῳ μᾶλλον ἂν προσήκοντα ἔδοξα πεποιηκέναι. λόγῳ δ᾽ ἐπαινέσαι τοὺς δὲ τοὺς ἄνδρας αἱρεθεὶς, ἐὰν μὴ τοὺς ἀκούοντας συμβουλομένους λάβω, φοβοῦμαι μὴ τῇ προθυμίᾳ τοὐναντίον οὗ δεῖ ποιήσω. ὁ μὲν γὰρ πλοῦτος καὶ τὸ τάχος καὶ ἡ ἰσχὺς καὶ ὅσα ἄλλα τούτοις ὅμοια, αὐτάρκη ἔχει τὰς ὀνήσεις τοῖς κεκτημένοις, καὶ κρατοῦσιν ἐν αὐτοῖς, οἷς ἂν παρῇ, κἂν μηδεὶς τῶν ἄλλων βούληται, ἡ δὲ τῶν λόγων πειθὼ τῆς τῶν ἀκουόντων εὐνοίας προσδεῖται. καὶ μετὰ μὲν ταύτης κἂν μετρίως ῥηθῇ δόξαν ἤνεγκε, καὶ χάριν προσαποιεῖ. ἄνευ δὲ ταύτης, κἂν ὑπερβάλῃ τῷ λέγειν καλῶς, προσέστη τοῖς ἀκούουσι. πολλὰ τοίνυν ἔχων εἰπεῖν ὧν οἵδε πράξαντες, δικαίως ἐπαινεθήσονται, ἐπειδὴ πρὸς αὐτοῖς εἰμὶ τοῖς ἔργοις, ἀπορῶ τί πρῶτον εἴπω.

προϊστάμενα γάρ μοι πάντα εἰς ἕνα καιρὸν δύσκολον καθίστησί μοι τὴν αἵρεσιν αὐτῶν. οὐ μὴν ἀλλὰ πειράσομαι τὴν αὐτὴν ποιήσασθαι τοῦ λόγου τάξιν, ἥπερ ὑπῆρξε τοῦ βίου τούτοις. οἵδε γὰρ ἐξ ἀρχῆς ἐν πᾶσι τοῖς παιδεύμασιν ἦσαν ἐπιφανεῖς, τὰ πρέποντα καθ' ἡλικίαν ἀσκοῦντες ἑκάστην, καὶ πᾶσιν ἀρέσκοντες οἷς χρὴ, γονεῦσι, φίλοις, οἰκείοις. τοιγαροῦν ὥσπερ ἴχνη γνωρίζουσα νῦν ἡ τῶν οἰκείων αὐτοῖς καὶ φίλων μνήμη, πᾶσαν ὥραν ἐπὶ τούτους φέρεται τῷ πόθῳ, πολλὰ ὑπομνήματα λαμβάνουσα ἐν οἷς συνῄδει τούτοις ἀρίστοις οὖσιν· ἐπειδὴ δὲ εἰς ἄνδρας ἀφίκοντο, οὐ μόνον τοῖς πολίταις γνώριμον τὴν αὐτῶν φύσιν, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις κατέστησαν. Ἔστι γὰρ ἔστιν ἁπάσης ἀρετῆς ἀρχὴ μὲν σύνεσις, πέρας δὲ ἀνδρία, καὶ τῇ μὲν δοκιμάζεται, τί πρακτέον ἐστί· τῇ δὲ σώζεται. ἐν τούτοις ἀμφοτέροις,

οἵδε

οἱ δὲ πολὺ διήνεγκαν. καὶ γὰρ εἴ τις ἐφύετο κοινὸς πᾶσι κίνδυνος τοῖς Ἕλλησιν, οὗτοι πρῶτοι προείδοντο, καὶ πολλάκις εἰς σωτηρίαν ἅπαντας παρεκάλεσαν. ὅπερ γνώμης ἀπόδειξίς ἐστιν εὖ φρονούσης, καὶ τῆς παρὰ τοῖς Ἕλλησιν ἀγνοίας μεμιγμένης κακία, ὅτ' ἐνῆν, ταῦτα κωλύειν ἀσφαλῶς, τὰ μὲν οὐ προορώσης, τὰ δ' εἰρωνευομένης. ὅμως ἡνίκ' ὑπήκουσαν, καὶ τὰ δέοντα ποιεῖν ἠθέλησαν, οὐκ ἐμνησικάκησαν. ἀλλὰ προστάντες καὶ παρασχόντες ἅπαντα προθύμως, καὶ σώματα, καὶ χρήματα, καὶ συμμάχους εἰς πεῖραν ἦλθον ἀγῶνος, εἰς ὃν οὐδὲ τῆς ψυχῆς ἐφείσαντο. ἐξ ἀνάγκης δὲ συμβαίνει ὅταν μάχη γίγνηται, τοῖς μὲν ἡττᾶσθαι, τοῖς δὲ νικᾶν. οὐκ ἂν ὀκνήσαιμι δ' εἰπεῖν ὅτι μοι δοκοῦσιν οἱ τελευτῶντες ἑκατέρων ἐν τάξει, τῆς μὲν ἥττης οὐ μετέχειν, νικᾶν δὲ ὁμοίως ἀμφότεροι. τὸ

μὲν γὰρ κρατεῖν ἐν τοῖς ζῶσιν, ὡς ἂν ὁ δαίμων παραδῷ, κρίνεται. ὃ δ' εἰς τοῦτο ἕκαστον ἔδει παρασχέσθαι, πᾶς ὁ μένων ἐν τάξει πεποίηκεν. εἰ δὲ θνητὸς ὢν τὴν εἱμαρμένην ἔχε τῇ τύχῃ· πέπονθε τὸ συμβαῖνον, οὐχὶ τὴν ψυχὴν ἥττηται τῶν ἐναντίων. νομίζω τοίνυν καὶ τοῦ τῆς χώρας ἡμῶν μὴ ἐπιβῆναι τοὺς πολεμίους, πρὸς τῇ τῶν ἐναντίων ἀγνωμοσύνῃ, τὴν τούτων ἀρετὴν αἰτίαν γεγενῆσθαι. κατ' ἄνδρα γὰρ πεῖραν εἰληφότες οἱ τότε συμμίξαντες ἐκεῖ, οὐκ ἐβούλοντο αὖθις εἰς ἀγῶνα καθίστασθαι τοῖς ἐκείνων οἰκείοις· ὑπολαμβάνοντες ταῖς μὲν φύσεσι ταῖς ὁμοίαις ἀπαντήσεσθαι, τύχην δὲ οὐκ εὔπορον εἶναι τὴν ὁμοίαν λαβεῖν· δηλοῖ δὲ οὐχ ἥκιστα ὅτι ταῦτα οὕτως ἔχει, καὶ τὰ τῆς γεγονυίας εἰρήνης. οὐ γὰρ ἔνεστ' εἰπεῖν οὔτ' ἀληθεστέραν, οὔτε καλλίω πρόφασιν τοῦ τῆς τῶν τετελευτηκότων ἀγασθέντα ἀρετῆς τὸν

τῶν

τῶν ἐναντίων κύριον φίλον γενέσθαι τοῖς ἐκείνων οἰκείοις βούλεσθαι μᾶλλον, ἢ πάλιν τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον ἄρασθαι. οἶμαι δ᾽ ἂν εἴτις αὐτοὺς τοὺς παραταξαμένους ἐρωτήσειε πότερ᾽ ἡγοῦνται ταῖς αὐτῶν ἀρεταῖς, ἢ τῇ παραδόξῳ καὶ χαλεπῇ τύχῃ κατωρθωκέναι, καὶ τῇ τοῦ προεστηκότος αὐτῶν ἐμπειρίᾳ, καὶ τόλμῃ, καὶ ψυχῇ, οὐδένα οὔτ᾽ ἀναίσχυντον, οὔτε τολμηρὸν οὕτως εἶναι. ὅν τιν᾽ ἀντιποιήσεσθαι τῶν πεπραγμένων. ἀλλὰ μὴν ὑπὲρ ὧν ὁ πάντων κύριος δαίμων ὡς ἠβούλετο, ἔνειμε τὸ τέλος, πάντας ἀφεῖσθαι κακίας ἀνάγκη τοὺς λοιποὺς ἀνθρώπους γε ὄντας· περὶ ὧν δ᾽ ὁ τῶν ἐναντίων ἡγεμὼν ὑπῆρχε τοὺς ἐπὶ τούτῳ ταχθέντας οὐχὶ τοὺς πολλοὺς, οὔτ᾽ ἐκείνων, οὔθ᾽ ἡμῶν αἰτιάσαιτ᾽ ἄν τις εἰκότως. εἰ δ᾽ ἄρα ἐστί τις ἀνθρώπων ὅτῳ περὶ τούτων ἐγκαλέσαι προσήκει τοῖς ἐπὶ τούτῳ ταχθεῖσι Θηβαίων, οὐχὶ τοῖς πολ-

πολλοῖς οὔθ' ὑμῖν, οὔτ' ἐκείνων ἐγκαλέσειεν ἄν τις εἰκότως. οἱ δύναμιν λαβόντες ἔχουσαν θυμὸν ἀήττητον καὶ ἀπροφάσιστον, καὶ φιλοτιμίαν ἐφάμιλλον, οὐδενὶ τούτων οὐκ ὀρθῶς ἐχρήσαντο. καὶ τὰ μὲν ἄλλ' ὅστι τούτων ὡς ἕκαστος ἔχει γνώμης, οὕτως ὑπολαμβάνειν. ὃ δὲ ἅπασιν ὁμοίως ἀνθρώποις τοῖς οὖσι γεγένηται, φανερὸν ὅτι ἡ πάσης τῆς Ἑλλάδος ἄρα ἐλευθερία ἐν ταῖς τῶν δὲ τῶν ἀνδρῶν ψυχαῖς διεσώζετο. ἐπειδὴ γὰρ ἡ πεπρωμένη τούτους ἀνεῖλεν, οὐδεὶς ἀντέστη τῶν λοιπῶν. καὶ φθόνος μὲν ἀπείη τοῦ λόγου· δοκεῖ δέ μοι τίς ἂν εἰπὼν ὡς ἡ τῶν δὲ τῶν ἀνδρῶν ἀρετὴ τῆς Ἑλλάδος ἦν ψυχή, τἀληθὲς εἰπεῖν. ἅμα γὰρ τά τε τούτων πνεύματα ἀπηλλάγη τῶν οἰκείων σωμάτων, καὶ τὸ τῆς Ἑλλάδος ἀξίωμα ἀνῄρηται. μεγάλην μὲν οὖν ἴσως ὑπερβολὴν δόξομεν λέγειν· ῥητέον δ' ὅμως. ὥσπερ γὰρ εἴ τις

ἐκ τοῦ καθεστηκότος κόσμου τὸ φῶς ἐξέλοιπο, δυσχερὴς καὶ χαλεπὸς ἅπας ὁ λειπόμενος ἡμῖν βίος γένοιτ' ἄν· οὕτω τῶνδε ἀνδρῶν ἀναιρεθέντων, ἐν σκότει, καὶ πολλῇ δυσκλείᾳ πᾶς ὁ περὶ τοῦ ζῆλος τῶν Ἑλλήνων γέγονε. διὰ πολλὰ δ' εἰκότως ὄντες τοιοῦτοι, διὰ τὴν πολιτείαν οὐχ ἥκιστα ἦσαν σπουδαῖοι. αἱ μὲν γὰρ διὰ τῶν ὀλίγων δυναστεῖαι· δέος μὲν ἐνεργάζονται τοῖς πολίταις, αἰσχύνην δ' οὐ παριστᾶσιν. ἡνίκα γοῦν ὁ ἀγὼν ἔλθῃ τοῦ πολέμου, πᾶς τις εὐχερῶς ἑαυτὸν σώζει· συνειδὼς ὅτι ἐὰν τοὺς κυρίους, ἢ δώροις, ἢ δι' ἄλλης ἡστινοσοῦν ὁμιλίας ἐξαρέσηται, κἂν τὰ δεινότατα ἀσχημονήσῃ, μικρὸν ὄνειδος τὸ λοιπὸν αὐτῷ καταστήσεται. αἱ δὲ δημοκρατίαι πολλά τε ἄλλα καὶ καλὰ καὶ δίκαια ἔχουσιν, ὧν τὸν εὖ φρονοῦντα ἀντέχεσθαι δεῖ· καὶ τὴν παῤῥησίαν ἐκ τῆς ἀληθείας ἠρτημένην οὐκ ἔστιν ἀποστρέψαι τἀληθές.

δηλοῦν. οὔτε γὰρ πάντας ἐξαρέσασθαι τοῖς αἰσχρόν τι ποιήσασι δυνατὸν, οὔτε ὁ μόνος τἀληθὲς ὄνειδος λέγων λυπεῖ. καὶ γὰρ οἱ μηδὲν ἂν εἰπόντες αὐτοὶ βλάσφημον, ἄλλου γε λέγοντος χαίρουσιν ἀκούοντες. ἃ φοβούμενοι πάντες, εἰκότως τὴ τῶν μετὰ ταῦτα ὀνειδῶν αἰσχύνη, τόν τε προσιόντα ἀπὸ τῶν ἐναντίων κίνδυνον εὐρώστως ὑπέμειναν, καὶ θάνατον καλὸν εἵλοντο μᾶλλον, ἢ βίον αἰσχρὸν. ἃ μὲν οὖν κοινῇ πᾶσιν ὑπῆρχε τοῖς δὲ τοῖς ἀνδράσιν εἰς τὸ καλῶς ἐθέλειν ἀποθνήσκειν εἴρηται· γένος, παιδεία, χρηστῶν ἐπιτηδευμάτων συνήθεια, τῆς ὅλης πολιτείας ὑπόθεσις. ἃ δὲ κατὰ φυλὰς παρεκάλεσεν ἑκάστους εὐρώστους εἶναι ταῦτ' ἤδη λέξω, ᾔδεσαν ἅπαντες Ἐρεχθεῖδαι τὸν ἐπώνυμον αὐτῶν Ἐρεχθέα ἕνεκα τοῦ σῶσαι τὴν χώραν, τὰς αὐτοῦ παῖδας ἃς Ὑακινθίδας καλοῦσιν, εἰς πρόῦπτον θάνατον δόντα

ἀνα-

ἀναλῶσαι. αἰσχρὸν οὖν ἡγοῦντο τὸν μὲν ἀπ' ἀθανάτων πεφυκότα πάντα ποιεῖν ἕνεκα τοῦ τὴν πατρίδα ἐλευθερῶσαι, αὐτοὶ δὲ φανῆναι θνητὸν σῶμα ποιούμενοι περὶ πλείονος, ἢ δόξαν ἀθάνατον. οὐκ ἠγνόουν Αἰγεῖδαι Θησέα τὸν Αἰγέως πρῶτον ἰσηγορίαν καταστησάμενον τῇ πόλει. δεινὸν οὖν ἡγοῦντο τὴν ἐκείνου προδοῦναι προαίρεσιν· καὶ τεθνάναι μᾶλλον ᾑροῦντο, ἢ καταλυομένης αὐτῆς παρὰ τοῖς Ἕλλησι ζῆν φιλοψυχήσαντες. παρειλήφεσαν Πανδιονίδαι Πρόκνην, καὶ Φιλομήλαν τὰς Πανδίονος θυγατέρας ὡς ἐτιμωρήσαντο Τηρέα διὰ τὴν εἰς αὐτὰς ὕβριν. οὐ βιωτὸν οὖν ἐνόμιζον αὐτοῖς, εἰ μὴ συγγενεῖς ὄντες θυμὸν ἔχοντες ὅμοιον ἐκείναις φανήσανται, ἐφ' οἷς τὴν Ἑλλάδα ἑώρων ὑβριζομένην. ἠκηκόεσαν Λεοντίδαι μυθολογουμένας τὰς Λεωκόρας, ὡς αὑτὰς ἔδοσαν σφάγιον τοῖς πολίταις ὑπὲρ

τῆς χώρας. ὅτε δ' οὖν γυναῖκες ἐκεῖναι τοιαύτην ἔσχον ἀνδρίαν. οὐ θεμιτὸν αὐτοῖς ὑπελάμβανον, χείροσιν ἀνδράσιν οὖσιν ἐκείνων φανῆναι. ἐμέμνηντο Ἀκαμαντίδαι τῶν ἐπῶν ἐν οἷς Ὅμηρος ἕνεκα τῆς μητρός φησιν * Φαίδρας * Αἴθρας, Ἀκάμαντα εἰς Τροίαν στεῖλαι. ὁ μὲν οὖν παντὸς ἐπειρᾶτο κινδύνου τοῦ σῶσαι τὴν ἑαυτοῦ μητέρα ἕνεκα. οἱ δὲ τοὺς οἴκοις σύμπαντας γονέας ἕνεκα τοῦ σῶσαι. πῶς οὐκ ἤμελλον πάντα κίνδυνον ὑπομένειν. οὐκ ἐλάνθανεν Οἰνείδας ὅτι Κάδμου μὲν Σεμέλη, τῆς δὲ υἱὸν ὄντα (ὃν οὐ πρέπον ἐστὶν ὀνομάζειν) ἐπὶ τοῦ δε τοῦ τάφου, τοῦ δὲ Οἰνεὺς γέγονεν ὃς ἀρχηγὸς αὐτῶν ἐκαλεῖτο. κοινοῦ δ' ὄντος ἀμφοτέραις ταῖς πόλεσι τοῦ παρόντος κινδύνου, ὑπὲρ ἀμφοτέρων ἅπασαν ᾤοντο δεῖν ἀγωνίαν ἐκτίναι. ᾔδεσαν Κεκροπίδαι τὸν ἑαυτῶν ἀρχηγὸν, τὰ μὲν ὡς ἐστὶ δράκων, τὰ δ' ὡς ἐστιν ἄν-

θρω-

θρωπος λεγόμενος οὐκ ἄλλοθέν ποθεν, ἢ τῷ τὴν σύνεσιν αὐτοῦ προσομοιοῦν ἀνθρώπῳ, τὴν ἀλκὴν δὲ δράκοντι. ἄξια δὴ τούτου πράττειν ὑπελάμβανον αὑτοῖς προσήκειν. ἐμέμνηντο Ἱπποθωντίδαι τῶν Ἀλώπης γάμων, ἐξ ὧν Ἱπποθόων ἔφυ, καὶ τὸν ἀρχηγὸν ᾔδεσαν, ὧν τὸ πρέπον φυλάττων ἐγὼ τῷδε τῷ καιρῷ, τὸ σαφὲς εἰπεῖν ὑπερβαίνω. ἄξια δὴ τούτων ᾤοντο δεῖν προσήκειν ποιοῦντες ὀφθῆναι. οὐκ ἐλάνθανεν Αἰαντίδας ὅτι τῶν ἀριστείων στερηθεὶς Αἴας, ἀβίωτον ἑαυτῷ ἡγήσατο τὸν βίον. ἡνίκ' οὖν ὁ δαίμων ἄλλῳ τἀριστεῖα ἐδίδου, τότε τοὺς ἐχθροὺς ἀμυνόμενοι, τεθνάναι δεῖν ᾤοντο, ὥστε μηδὲν ἀνάξιον αὑτῶν παθεῖν. οὐκ ἠμνημόνουν Ἀντιοχίδαι Ἡρακλέους ὄντα Ἀντίοχον. δεῖν οὖν ἡγήσαντο, ἢ ζῆν ἀξίως τῶν ὑπαρχόντων, ἢ τεθνάναι καλῶς.

Οἱ μὲν οὖν ζῶντες οἰκεῖοι τούτων ἐλεει-

νοὶ τοιούτων ἀνδρῶν ἐστερημένοι, καὶ συνηθείας πολλῆς, καὶ φιλανθρώπου διεζευγμένοι, καὶ τὰ τῆς πατρίδος πράγματ᾽ ἔρημα καὶ δακρύων καὶ πένθους πλήρη. οἱ δὲ εὐδαίμονες τῷ δικαίῳ λογισμῷ, πρῶτον μὲν ἀντὶ μικροῦ χρόνου εἰς πολὺν, καὶ τὸν ἅπαντα εὔκλειαν ἀγήρων καταλείπουσιν, ἐν ᾗ καὶ παῖδες οἱ τούτων ὀνομαστοὶ τραφήσονται, καὶ γονεῖς οἱ τούτων περίβλεπτοι γηροτροφήσονται, παραψυχὴν τοῦ πένθους τὴν τούτων εὔκλειαν ἔχοντες. ἔπειτα νόσων ἀπαθεῖς τὰ σώματα, καὶ λυπῶν ἄπειροι τὰς ψυχὰς, ἃς ἐπὶ τοῖς συμβεβηκόσιν οἱ ζῶντες ἔχουσιν, ἐν μεγάλῃ τιμῇ καὶ πολλῷ ζήλῳ τῶν νομιζομένων τυγχάνουσιν. οὓς γὰρ ἅπασα μὲν ἡ πατρὶς θάπτει δημοσίᾳ, κοινῶν δ᾽ ἐπαίνων μόνοι τυγχάνουσι· ποθοῦσι δ᾽ οὐ μόνον οἱ συγγενεῖς καὶ πολῖται, ἀλλὰ καὶ πᾶσαν ὅσην Ἑλλάδα χρὴ προσειπεῖν· συμ-

πεπένθηκε δὲ καὶ τῆς οἰκουμένης τὸ πλεῖστον μέρος, πῶς οὐ χρὴ τούτους εὐδαίμονας νομίζεσθαι; οὓς παρέδρους εἰκότως ἄν τις φήσαι τοῖς κάτω θεοῖς εἶναι, τὴν αὐτὴν τάξιν ἔχοντας τοῖς προτέροις ἀγαθοῖς ἀνδράσιν ἐν μακάρων νήσοις. οὐ γὰρ ἰδών τις οὐδὲ περὶ ἐκείνων ταῦτ᾽ ἀπήγγελκεν, ἀλλ᾽ οὓς οἱ ζῶντες ἀξίους ὑπειλήφαμεν τῶν ἄνω τιμῶν, τούτους τῇ δόξῃ καταμαντευόμενοι, κἀκεῖ τῶν αὐτῶν ἡγούμεθ᾽ αὐτοὺς τυγχάνειν. ἔστι μὲν οὖν ἴσως χαλεπὸν, τὰς παρούσας συμφορὰς λόγῳ κουφίσαι· δεῖ δ᾽ ὅμως πειρᾶσθαι, καὶ πρὸς τὰ παρηγοροῦντα τρέπειν τὴν ψυχὴν, ὡς τοὺς τοιούτους ἄνδρας γεγεννηκότας καὶ πεφυκότας αὐτοὺς ἐκ τοιούτων ἑτέρων, καλόν ἐστι τὰ δεινὰ εὐσχημονέστερον τῶν ἄλλων φέροντας ὁρᾶσθαι, καὶ πάσῃ τύχῃ χρωμένους ὁμοίους εἶναι. καὶ γὰρ ἐκείνοις, ταῦτ᾽ ἂν εἴη μάλιστ᾽ ἐν κόσμῳ καὶ τιμῇ, καὶ πάσῃ τῇ

πόλει, καὶ τοῖς ζῶσι ταῦτ' ἂν ἐνέγκοι πλείστην εὐδοξίαν. χαλεπὸν πατρὶ καὶ μητρὶ παίδων στερηθῆναι, καὶ ἐρήμοις εἶναι τῶν οἰκειοτάτων γηροτρόφων· σεμνὸν δέ γε ἀγήρως τιμὰς καὶ μνήμην ἀρετῆς δημοσίᾳ κτησαμένους ἐπιδεῖν, καὶ θυσιῶν καὶ ἀγώνων ἠξιωμένους ἀθανάτων· λυπηρὸν παισὶν ὀρφανοῖς γεγενῆσθαι πατρὸς· καλὸν δέ γε κληρονομεῖν πατρῴας εὐδοξίας, καὶ τοῦ μὲν λυπηροῦ τούτου τὸν δαίμονα αἴτιον εὑρήσομεν ὄντα, ᾧ φύντας ἀνθρώπους εἴκειν ἀνάγκη· τοῦ δὲ τιμίου καὶ καλοῦ τὴν τῶν ἐθελησάντων καλῶς ἀποθνήσκειν αἵρεσιν. ἐγὼ μὲν οὖν οὐχ ὅπως πολλὰ λέξω τοῦτ' ἐπεσκεψάμην, ἀλλ' ὅπως τἀληθῆ· ὑμεῖς δὲ ἀποδυράμενοι, καὶ τὰ προσήκοντα ὡς χρὴ. καὶ νόμιμα ποιήσαντες, ἄπιτε.

# ΕΠΙΤΑΦΙΟΣ ΛΟΓΟΣ

## ΠΕΡΙΚΛΕΟΥΣ ἐκ τῆς β΄.

## Συγγραφῆς τῆς τοῦ Θουκυδίδου

## ΙΣΤΟΡΙΑΣ.

Ἐν δὲ τῷ αὐτῷ χειμῶνι, οἱ Ἀθηναῖοι τῷ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρώτων ἀποθανόντων, τρόπῳ τοιῷδε. Τὰ μὲν ὀστᾶ προτίθενται τῶν ἀπογενομένων, πρότριτα σκηνὴν ποιήσαντες, καὶ ἐπιφέρει τῷ αὑτοῦ ἕκαστος ἤν τι βούληται. ἐπειδὰν δὲ ἡ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας

ἄγου-

ἄγουσιν ἅμαξαι, φυλῆς ἑκάστης μίαν. ἔνεστι δὲ καὶ τὰ ὀστᾶ ἧς ἕκαστος ἦν φυλῆς. μία δὲ κλίνη κενὴ φέρεται ἐστρωμένη τῶν ἀφανῶν, οἳ ἂν μὴ εὑρεθῶσιν ἐς ἀναίρεσιν. ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν, καὶ ξένων. καὶ γυναῖκες παρῆσαν αἱ προσήκουσαι ἐπὶ τὸν τάφον ὀλοφυρόμεναι. τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως. καὶ ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλήν γε τοὺς ἐν Μαραθῶνι, ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες, αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν. ἐπειδὰν δὲ κρύψωσι γῇ, ἀνὴρ ἡρημένος ὑπὸ τῆς πόλεως. ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξύνετος εἶναι, καὶ ἀξιώματι προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα. μετὰ δὲ τοῦτο, ἀπέρχονται. ὧδε μὲν θάπτουσι. καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ. ἐπὶ δ' οὖν τοῖς πρώτοις

τοῖς δὲ, Περικλῆς ὁ Ξανθίππου ᾑρέθη λέγειν, καὶ ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου, ἔλεγε τοιάδε.

ΟΙ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων, ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτὸν ἐμοὶ δ' ἂν ἀρκοῦν ἐδόκει εἶναι, ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς. οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε, καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι, εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι. χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται. ὅ, τε γὰρ ξυνειδὼς, καὶ εὔνους ἀκροατὴς, τάχ' ἄν τι ἐνδεεστέρως

πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι, ὅ, τε ἄπειρος, ἔστιν ἃ καὶ πλεονάζεσθαι, διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. Μέχρι γὰρ τοῦδε, ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι, ὧν ἤκουσε· τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθονοῦντες, ἤδη καὶ ἀπιστοῦσιν. Ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ, πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπὶ πλεῖστον. ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων πρῶτον, δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς μνήμης δίδοσθαι. τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων, μέχρι τοῦδε, ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου, καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν. κτησάμενοι γὰρ πρὸς

οἷς ἐδέξαντο ὅσην ἔχομεν ἀρχὴν, οὐκ ἀπόνως ἡμῖν τοῖς νῦν προσκατέλιπον. τὰ δὲ πλέω αὐτῆς, αὐτοὶ ἡμεῖς οἵδε, οἱ νῦν ἔτι ὄντες, μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ ἐπηυξήσαμεν. καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον, καὶ ἐς εἰρήνην αὐταρκεστάτην. ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ, ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω. ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ' αὐτὰ, καὶ μεθ' οἵας πολιτείας, καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον, εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι, οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ, καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν, καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπακοῦσαι. χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους.

παρά-

παράδειγμα δὲ αὐτοὶ μᾶλλον ὄντες τισὶν, ἢ μιμούμενοι ἑτέρους, καὶ ὄνομα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους, ἀλλ᾽ ἐς πλείονας οἰκεῖν, δημοκρατία κέκληται. μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους, πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸν ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ, ἢ ἀπ᾽ ἀρετῆς προτιμᾶται. οὐδ᾽ αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν ἀξιώματος ἀφανείᾳ κεκώλυται. ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν. καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ᾽ ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι᾽ ὀργῆς τὸν πέλας, οἱ καθ᾽ ἡδονήν τι δρᾶν ἔχοντες, οὐδὲ ἀζημίους μὲν λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι, ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες, τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν τῶν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει, καὶ τῶν νόμων,

καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ἀφελείᾳ τῶν ἀδικουμένων κεῖνται, καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσι. καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει· ἐπεισέρχεται δὲ διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα· καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι, ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων. διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος, ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη· πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις, ἢ τῷ

ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ. καὶ ἐν ταῖς παιδείαις, οἱ μὲν, ἐπιπόνῳ ἀσκήσει, εὐθὺς νέοι ὄντες, τὸ ἀνδρεῖον μετέρχονται· ἡμεῖς δὲ, ἀνειμένως διαιτώμενοι, οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν. τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑκάστους, μεθ' πάντων δ' ἐς τὴν γῆν ἡμῶν στρατεύουσι· τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες, οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν. ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολέμιος ἐνέτυχε, διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν, καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν. ἢν δέ που μορίῳ τινὶ προσμίξωσι, κρατήσαντές τε τινὰς ἡμῶν, πάντας αὐχοῦσιν ἀπεῶσθαι, καὶ νικηθέντες, ὑφ' ἁπάντων ἡσσῆσθαι. καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλεῖον, ἢ τρόπων ἀνδρείας

ἐθέ-

ἐθέλοιμεν κινδυνεύειν, περιγίγνεται ἡμῖν
τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκά-
μνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι, μὴ ἀτολμο-
τέρους τῶν ἀεὶ μοχθούντων φαίνεσθαι· καὶ ἔντε
τούτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζε-
σθαι, καὶ ἔτι ἐν ἄλλοις. φιλοκαλοῦμέν τε
γὰρ μετ᾽ εὐτελείας, καὶ φιλοσοφοῦμεν ἄνευ
μαλακίας· πλούτῳ τε ἔργου μᾶλλον ἐν
καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα. καὶ
τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινι αἰσχρὸν,
ἀλλὰ μὴ διαφεύγειν ἔργῳ, αἴσχιον.
ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα, καὶ πο-
λιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις πρὸς ἔργα
τετραμμένοις, τὰ πολιτικὰ μὴ ἐνδεῶς
γνῶναι. μόνοι γὰρ τόντε μηδὲν τῶνδε με-
τέχοντα, οὐκ ἀπράγμονα, ἀλλ᾽ ἀ-
χρεῖον νομίζομεν· καὶ αὐτοὶ ἤτοι κρίνο-
μέν γε, ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγ-
ματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην
ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι
μᾶλλον λόγῳ πρότερον, ἢ ἐπὶ ἃ δεῖ

ἔργῳ ἐλθεῖν. διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν, ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα, καὶ περὶ ὧν ἐπιχειρήσομεν, ἐκλογίζεσθαι. ὃ τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν, οἱ τά τε δεινὰ, καὶ ἡδέα σαφέστατα γιγνώσκοντες, καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. καὶ τὰ ἐς ἀρετὴν ἠναντιώμεθα τοῖς πολλοῖς· Οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες, κτώμεθα τοὺς φίλους. βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν, ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν· ὁ δ' ἀντοφείλων, ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. καὶ μόνοι οὐ τοῦ ξυμφέροντος μᾶλλον λογισμῷ, ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς τινα ὠφελοῦμεν. ξυνελών τε λέγω, τήν τε πᾶσαν πόλιν, τῆς Ἑλλάδος παίδευσιν εἶναι, καὶ καθ' ἕκαστον

δο-

δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖστ' ἂν εἴδη, καὶ μετὰ χαρίτων μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον, ἢ ἔργων ἐστὶν ἀλήθεια, αὕτη ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ, οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν, ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. μετὰ μεγάλων δὲ σημείων, καὶ οὐ δήτοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι, τοῖς τε νῦν, καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα· καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου, οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν, καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ κα-

καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀΐδια ξυγκατοικίσαντες. περὶ τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως, δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν, μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν. διὸ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα, καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐλογίαν ἅμα ἐφ᾽ οἷς νῦν λέγω φανερὰν σημείοις καθιστὰς, καὶ εἴρηται αὐτῆς τὰ μέγιστα, ἃ γὰρ τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν· καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόρροπος, ὥσπερ τῶνδε, ὁ λόγος τῶν ἔργων φανείη. δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν, πρώτη τε μηνύουσα, καὶ τελευταία βεβαιοῦσα, ἡ νῦν τῶνδε καταστροφή. καὶ γὰρ τοῖς τἄλλα χείροσι δίκαιον τὴν ἐς τοὺς πολέ-

λέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν
προτίθεσθαι. ἀγαθῷ γὰρ κακὸν ἀφα-
νίσαντες, κοινῶς μᾶλλον ὠφέλησαν,
ἢ ἐκ τῶν ἰδίων ἔβλαψαν. τῶνδε δὲ οὔτε
πλούτου τὶς τὴν ἔτι ἀπόλαυσιν προτιμή-
σας ἐμαλακίσθη, οὔτε πενίας ἐλπίδι,
ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν πλουτή-
σειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο.
τὴν δὲ τῶν ἐναντίων τιμωρείαν ποθει-
νοτέραν αὐτῶν λαβόντες, καὶ κινδύνων
ἅμα τόνδε κάλλιστον νομίσαντες, ἠβου-
λήθησαν μετ' αὐτοῦ, τοὺς μὲν, τιμωρεῖ-
σθαι, τῶν δὲ ἐφίεσθαι. ἐλπίδι μὲν τὸ ἀ-
φανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες,
ἔργῳ δὲ ὑπὲρ τοῦ ἤδη ὁρωμένου σφίσιν
αὐτοῖς ἀξιοῦντες πεποιθέναι. καὶ ἐν αὐ-
τῷ τῷ ἀμύνασθαι καὶ παθεῖν, μᾶλλον
ἡγησάμενοι, ἢ τῷ ἐνδόντες σώζεσθαι,
τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ'
ἔργον, τῷ σώματι ὑπέμειναν, καὶ δι'
ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς

δόξης μᾶλλον, ἢ τοῦ δέους ἀπηλλάγη-
σαν. καὶ οἵδε μὲν προσηκόντως τῇ πό-
λει τοιοίδε ἐγένοντο. τοὺς δὲ λοιποὺς χρὴ
ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέ-
ραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολε-
μίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ
λόγῳ μόνῳ τὴν ἀφέλειαν· ἣν ἄν τις
πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας
μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολε-
μίους ἀμύνεσθαι, ἀγαθὰ ἔνεστιν· ἀλλὰ
μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ'
ἡμέραν ἔργῳ θεωμένους, καὶ ἐραστὰς γι-
γνομένους αὐτῆς. καὶ ὅταν ὑμῖν μεγάλη
δόξῃ εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες,
καὶ γιγνώσκοντες τὰ δέοντα, καὶ ἐν τοῖς
ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτή-
σαντο· καὶ ὁπότε καὶ πείρᾳ του σφαλείη-
σαν, οὔκουν καὶ τὴν πόλιν γε τῆς σφετέ-
ρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλι-
στον δὲ ἔρανον αὐτῇ προϊέμενοι. κοινῇ
γὰρ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγή-

ρων

ρων ἔπαινον ἐλάμβανον, καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖνται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρῷ ἀείμνηστος καταλείπεται. Ἀνδρῶν γὰρ ἐπιφανῶν, πᾶσα γῆ τάφος καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφὴ, ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον, ἢ τοῦ ἔργου ἐνδιαιτᾶται. οὓς νῦν ὑμεῖς ζηλώσαντες, καὶ τὸ εὔδαιμον, τὸ ἐλεύθερον, τὸ δὲ ἐλεύθερον, τὸ εὔψυχον κρίναντες, μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους. οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ' ἀγαθοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται, καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἤν τι πταίσωσιν. Ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ ἐν τῷ μετὰ τοῦ μαλακισθῆναι κά-

κωσις, ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος. διόπερ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον, ἢ παραμυθήσομαι. ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἐπίστανται τραφέντες. τὸ δ᾽ εὐτυχὲς, οἳ ἂν τῆς εὐπρεπεστάτης λάχωσιν, ὥσπερ οἵδε μὲν νῦν, τελευτῆς, ὑμεῖς δὲ λύπης· καὶ οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως, καὶ ἐντελευτῆσαι ξυνεμετρήθη. χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὂν, ὧν καὶ πολλάκις ἕξετε ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, αἷς ποτε καὶ αὐτοὶ ἠγάλλεσθε, καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ᾽ οὗ ἂν [illegible] γινόμενος, ἀφαιρεθείη. καρτερεῖν δε χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι, ἰδίᾳ τε γὰρ τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται· καὶ τῇ πόλει διχό-

διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι, καὶ ἀσφαλείᾳ ξυνοίσειν. οὐ γὰρ οἷόν τε ἴσον τι, ἢ δίκαιον βουλεύεσθαι, οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν. ὅσοι δ' αὖ παρηβήκατε, τόν τε πλείονα, κέρδος ὃν, εὐτυχεῖτε βίον, ἡγεῖσθε, καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ τῶνδε εὐκλείᾳ κουφίζεσθε. τὸ γὰρ φιλότιμον ἀγήρων μόνον. καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινές φασὶ, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι. παισί δ' αὖ ὅσοι τῶνδε πάρεστε, ἢ ἀδελφοῖς, ὁρῶ μέγαν τὸν ἀγῶνα. Τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν· καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς οὐχ ὁμοῖοι, ἀλλ' ὀλίγῳ χείρους κριθεῖητε. φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον. τὸ δὲ μὴ ἐμποδὼν, ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται. εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχείᾳ παραινέσει·

ἅπαν σημανῶ. τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι, ὑμῖν, μεγάλη ἡ δόξα, καὶ οἷς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς πέρι ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ. εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον, ὅσα εἶχον πρόσφορα. καὶ ἔργῳ, οἱ θαπτόμενοι τὰ μὲν, ἤδη κεκόσμηνται. τὰ δὲ, αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε δημοσίᾳ ἡ πόλις μέχρις ἥβης θρέψει, ὠφέλιμον στέφανον τοῖσδέ τε, καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα. Ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖσδε καὶ ἄνδρες ἄριστοι πολιτεύουσι· νῦν δὲ ἀπολοφυράμενοι ὃν προσήκει ἑκάστῳ, ἄπιτε.

Τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ.

IHS

# ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΚΑΛΛΙΜΑΚΟΥ.

Τῆδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
Κοιμᾶται· θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

### Τοῦ αὐτοῦ.

Εἶπέ τις, Ἡράκλειτε, τεὸν μόρον· ἐς δέ με δάκρυ
Ἤγαγεν, ἐμνήσθην δ᾽ ὁσσάκις ἀμφότεροι
Ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που
Ξεῖν᾽ Ἁλικαρνασσεῦ τετράπαλαι σποδίη.
Αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες· ᾗσιν ὁ πάντων

Ἁρπακτὴρ ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

## ΑΡΧΙΟΥ.

Ὁ πρὶν ἀελλοπόδων λάμψας πλέον Αἰετὸς ἵππων.
Ὁ πρὶν ὑπαὶ μίτραις κῶλα καθαψάμενος,
Ὃν Φοίβου χρησμῳδὸς ἀέθλιον ἔστεφε Πυθὼ,
Ὀρνύμενον πτανοῖς ὠκυπέταις ἴκελον,
Καὶ Νεμέη βλοσυροῖο τιθηνήτειρα λέοντος,
Πῖσά τε, καὶ δοιὰς ἠόνας Ἴσθμὸς ἔχων·
Νῦν κλοιῷ δειρὴν πεπεδημένος, οἷα χαλινῷ,
Καρπὸν ἐλᾷ Δηοῦς ὀκρυόεντι λίθῳ·

Ἴσην

Ἴσην μοῖραν ἔχων Ἡρακλεῖ· καὶ γὰρ ἐκεῖνος
Τόσσ' ἀνύσας, δούλην ζεῦγλαν ἐφηρμόσατο.

## ΦΙΛΙΠΠΟΥ.

Φοῖβον ἀνηναμένη ποτὲ Δάφνη, νῦν ἀνέτειλε,
Καίσαρος ἐκ βωμοῦ, κλῶνα μελαμπέταλον.
Ἐκ δὲ θεοῦ θεὸν εὗρεν ἀμείμονα. Λητοΐδην γὰρ
Ἐχθήρασα, φιλεῖ Ζῆνα τὸν Αἰνεάδην.
Ῥίζαν δ' οὐκ ἀπὸ γῆς μητρὸς βάλεν, ἀλλ' ἀπὸ πέτρης,
Καίσαρι μὴ τίκτειν οὐδὲ λίθος δύναται.

Τοῦ αὐτοῦ.

Ψίττακος ὁ βροτόγηρυς, ἀφεὶς λυγροτευχέα κύρτον,
Ἤλυθεν εἰς δρυμοὺς ἀνθοφυεῖ πτέρυσι.
Αἰεὶ δ' ἐκμελετῶν ἀσπάσμασι Καίσαρα κλεινὸν
Οὐδ' ἀν' ὄρη λήθην ἤγαγεν οὐνόματος.
Ἔδραμε δ' ὠκυδίδακτος ἅπας οἰωνὸς, ἐρίζων
Τίς φθῆναι δύναται δαίμονι χαῖρ' ἐνέπειν.
Ὀρφεὺς θῆρας ἔπεισεν ἐν οὔρεσιν· ἐς δέ σε Καῖσαρ,
Νῦν ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

# ΑΝΑΚΡΕΟΝΤΟΣ ΤΗΙΟΥ.

## Εἰς τὸ ἀφθόνως ζῆν. ά.

Οὔ μοι μέλει Γύγαο
Τοῦ Σάρδεων ἄνακτος,
Οὔθ' αἱρέει με χρυσὸς
Οὐδὲ φθονῶ τυράννοις·
Ἐμοὶ μέλει μύροισι
Καταβρέχειν ὑπήνην
Ἐμοὶ μέλει ῥόδοισι
Καταστέφειν κάρηνα.
Τὸ σήμερον μέλει μοι·
Τὸ δ' αὔριον τίς οἶδεν;
Ἕως οὖν ἔτ' εὐδί' ἐστὶ,
Καὶ πῖνε καὶ κύβευε
Καὶ σπένδε τῷ Λυαίῳ.
Μὴ νοῦσος, ἤν τις ἔλθῃ,
Λέγῃ, σὲ μηδὲ πίνειν.

## Εἰς τὸ δεῖν πίνειν. β΄.

Η Γῆ μέλαινα πίνει,
Πίνει δὲ δένδρε᾽ αὐτήν·
Πίνει θάλασσα δ᾽ αὔρας,
Ὁ δ᾽ ἥλιος θάλασσαν,
Τὸν δ᾽ ἥλιον σελήνη.
Τί μοι μάχεσθ᾽, ἑταῖροι,
Καὐτῷ θέλοντι πίνειν;

## Εἰς χρυσόν. γ΄.

Ο Πλοῦτος εἴγε χρυσοῦ
Τὸ ζῆν παρεῖχε θνητοῖς,
Ἐκαρτέρουν φυλάττων·
Ἵν᾽ ἂν θανεῖν ἐπέλθῃ,
Λάβῃ τι, καὶ παρέλθῃ.
Εἰ δ᾽ οὐδὲ τὸ πρίασθαι
Τὸ ζῆν ἔνεστι θνητοῖς,

Τί

Τί καὶ μάτην στενάζω;
Τί καὶ γόους προπέμπω,
Θανεῖν γὰρ εἰ πέπρωται,
Τί χρυσὸς ὠφελεῖ με;
Ἐμοὶ γένοιτο πίνειν·
Πιόντι δ' οἶνον ἡδὺν
Ἐμοῖς φίλοις συνεῖναι.

Εἰς τὸ Ἔαρ. δ'.

Ἴδε, πῶς Ἔαρος φανέντος,
Χάριτες ῥόδα βρύουσιν.
Ἴδε, πῶς κῦμα θαλάσσης
Ἁπαλύνεται γαλήνῃ.
Ἴδε, πῶς νῆσσα κολυμβᾷ,
Ἴδε, πῶς γέρανος ὁδεύει·
Ἀφελῶς δ' ἔλαμψε Τιτάν.
Νεφελῶν σκιαὶ δονοῦνται,
Τὰ βροτῶν δ' ἔλαμψεν ἔργα.
Καρποῖσι γῆ προκύπτει·
Καρπὸς ἐλαίας προκύπτει·

Βρομίου στέφεται τὸ νᾶμα,
Κατὰ φύλλον, καὶ κλῶνα
Καθελὼν ἤνθισε καρπός.

## Εἰς Τέττιγα. ε.

ΜΑκαρίζομέν σε, τέττιξ,
Ὅτι δενδρέων ἐπ' ἄκρων
Ὀλίγην δρόσον πεπωκὼς,
Βασιλεὺς ὅπως, ἀείδεις·
Σὰ γάρ ἐστι κεῖνα πάντα,
Ὁπόσα βλέπεις ἐν ἀγροῖς,
Κὠπόσα φέρουσιν Ὧραι.
Σὺ γὰρ εἶ φίλος γεωργῶν,
Ἀπὸ μηδενός τι βλάπτων·
Σὺ δὲ τίμιος βροτοῖσι,
Θέρεος γλυκὺς προφήτης.
Φιλέουσι μέν σε Μοῦσαι,
Φιλέει δὲ Φοῖβος αὐτὸς,
Λιγυρὴν δ' ἔδωκεν οἴμην·
Τὸ δὲ γῆρας οὔ σε τείρει.

Σοφὲ, γηγλυὴς, φίλυμνε,
Ἀπαθὴς, ἄναιμ᾽, ἄσαρκε,
Σχεδὸν εἶ θεοῖς ὅμοιος.

Εἰς τὸ γῆρας. ϛʹ.

Πολιοὶ μὲν ἧμιν ἤδη
Κρόταφοι, κάρη δὲ λευκόν·
Χαρίεσσα δ᾽ οὐκ ἔθ᾽ Ἥβη
Πάρα· γηραλέοι δ᾽ ὀδόντες·
Γλυκεροῦ δ᾽ οὐκ ἔτι πολλὸς
Βιότου χρόνος λέλειπται.
Διὰ ταῦτ᾽ ἀνασαλύζω
Θαμὰ, Τάρταρον δεδοικώς·
Ἀΐδεω γάρ ἐστι δεινὸς
Μυχός· ἀργαλέη δ᾽ ἐς αὐτὸν
Κάθοδος· καὶ γὰρ ἕτοιμον
Καταβάντι μὴ ᾽ναβῆναι.

* * * *
* * *

Εἰς ἑαυτόν. ζʹ.

ΕΠειὴ βροτὸς γ' ἐτέχθην,
Βιότου τρίβον ὁδεύειν,
Χρόνον, ὃς παρῆλθεν, ἔγνων·
Ὃν ἔχω δραμεῖν, τίς οἶδε;
Μέθετέ με, φροντίδες, δειναί,
Οὐδέν ἐστι σοί τε κἀμοί·
Πρὶν ἐμὲ φθάσῃ τελευτή,
Παίξω, γελάσω, χορεύσω
Μετὰ τοῦ Καλοῦ Λυαίου.

Εἰς ἑαυτόν. ηʹ.

ΟΤαν πίω τὸν οἶνον,
Εὕδουσιν αἱ μέριμναι·
Τί μοι γόων, τί μόχθων,
Τί μοι μέλει μεριμνῶν;
Θάνοιμι κἂν μελήσας.
Τί δὲ τὸν βίον πλανῶμαι;

Πίω-

Πίωμεν οὖν τὸν οἶνον,
Τὸν τοῦ Καλοῦ Λυαίου·
Σὺν τῷ πιεῖν γὰρ ἡμᾶς,
Εὕδουσι αἱ μέριμναι.

## Εἰς ἑαυτὸν. θ΄.

Ἐγὼ γέρων μέν εἰμι,
Νέων πλέον δὲ πίνω·
Κἂν δεήσῃ με χορεύειν,
Σκῆπτρον ἔχω τὸν ἀσκόν·
Νάρθηξ γὰρ οὐδέν ἐστιν.
Ὁ μὲν θέλων μάχεσθαι,
Πάρεστι γὰρ, μαχέσθω.
Ἐμοὶ κύπελλον, ὦ παῖ,
Μελιχρὸν οἶνον, ἡδὺν,
Ἐγκεράσας φόρησον.
Ἐγὼ γέρων μέν εἰμι·
Σειληνὸν ἐν μέσοις δὲ
Μιμούμενος χορεύσω.

Εἰς ἑαυτὸν. ι.

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Πότε μου ἦτορ ἰανθὲν
Μούσας ἄρχεται λιγαίνειν.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Ἀπορίπτεται μέριμνα,
Πολυφροντίδες τε βουλαὶ
Ἐς ἁλικτύπους ἀήτας.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον
Φιλοπαίγμων τότε Βάκχος
Πολυανθέσιν μ' ἐν αὔραις
Δονέει μέθῃ γανώσας.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Στεφάνους ἄνθεσι πλέξας,
Ἐπιθεὶς δὲ τῷ καρήνῳ,
Μέλπω βιότου γαλήνην.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Ὑποκύρτοισι κυπέλλοις,
Τὸν ἐμὸν νόον γ' ἁπλώσας
Θιάσῳ γέγηθα κούρων.

Ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
Τόδε μοι μόνῳ τὸ κέρδος·
Τόδ᾽ ἐγὼ λαβὼν ἀποίσω·
Τὸ θανεῖν γὰρ μετὰ πάντων.

Εἰς Διόνυσον. ιά.

Ὁ τὸν ἐν πόνοις ἀτειρῆ,
Νέον ἐν πόθοις ἀταρβῆ,
Καλὸν ἐν πότοις χορευτὴν
Τελέων, θεὸς κατῆλθεν,
Ἁπαλὸν βροτοῖσι φίλτρον,
Πότον ἄστονον, κομίζων·
Γόνον ἀμπέλου τὸν οἶνον
Πεπεδημένον γ᾽ ὀπώραις
Ἐπὶ κλημάτων φυλάσσων.
Ἵν᾽ ὅταν τάμωσι βότρυν,
Ἄνοσοι μένωσι πάντες,
Ἄνοσοι δέμας θεητὸν,
Ἄνοσοι γλυκύν τε θυμὸν,
Ἐς ἔτους φανέντος ἄλλου.

### Ὅτι πίνειν δεῖ μετρίως. ιβ΄.

Ἄγε δὴ, φέρ᾽ ἡμῖν, ὦ παῖ,
Κελέβην, ὅπως ἄμυστιν
Προπίω· τὰ μὲν δέκ᾽ ἔγχει
Ὕδατος, τὰ πέντε δ᾽ οἴνου
Κυάθους· ὑβριστιάσαν
Φρένα δεῦτε Βασσάρησιν.
Ἄγε δῶτε· μηκέθ᾽ οὕτω,
Πατάγῳ τε καὶ ἀλαλητῷ
Σκυθικὴν πόσιν παρ᾽ οἴνῳ
Μελετῶμεν· ἀλλὰ καλοῖς
Ὑποπινόμεθ᾽ ἐν ὕμνοις.

### Εἰς ἑαυτόν. ιγ΄.

Ὅτ᾽ ἐγὼ νέων ὅμιλον
Ἐσορῶ, πάρεστι ἥβη·
Τότε δὴ, τότ᾽ ἐς χορείην
Ὁ γέρων ἐγὼ πτεροῦμαι.

Πεϱίμεινόν με, Κυβήβα,
Ρ῾όδα δὸς, θέλω στέφεσθαι.
Πολιὸν δὲ γῆϱας ἥκας
Νέος ἐν νέοις χοϱεύσω.
Διονυσίης δέ μοί τις
Φεϱέτω δῶϱον ὀπώϱης,
Ἵν᾽ ἴδῃ γέϱοντος ἀλκὴν,
Δεδαηκότος μὲν εἰπεῖν,
Δεδαηκότος δὲ πίνειν,
Χαϱιέντως δὲ μανῆναι.

Εἰς ἑαυτόν. ιδʹ.

Α῎Φες με, τοὺς θεούς σοι,
Πιεῖν, πιεῖν ἀμυστί·
Θέλω, θέλω μανῆναι,
Ε᾽μαίνετ᾽ Α᾽λκμαίων τε,
Χὠ λευκόπους Ο᾽ρέστης,
Τὰς μητέϱας κτανόντες·
Ε᾽γὼ δὲ μηδένα κτὰς,
Πιὼν δ᾽ ἐρυθρὸν οἶνον,

Θέλω, θέλω μανῆναι.
Ἐμαίνεθ' Ἡρακλῆς πρὶν,
Δεινὴν κλονῶν φαρέτρην,
Καὶ τόξον Ἰφίτειον·
Ἐμαίνετο πρὶν Αἴας,
Μετ' ἀσπίδος κραδαίνων
Τὴν Ἕκτορος μάχαιραν·
Ἐγὼ δ' ἔχων κύπελλον,
Καὶ στέμμα τοῦτο χαίταις,
Οὐ τόξον, οὐ μάχαιραν,
Θέλω, θέλω μανῆναι.

## Εἰς Ἔρωτα. ιε.

ΤΟν Ἔρωτα γὰρ τὸν ἁβρὸν
Μέλπομαι, βρύοντα μίτραις
Πολυανθέμοις, ἀείδων·
Ὅδε καὶ θεῶν δυνάστης,
Ὅδε καὶ βροτοὺς δαμάζει.

# ΠΙΝΔΑΡΟΥ

## Τῶν Ὀλυμπίων Εἶδος ιά.
## Ἀγησιδάμῳ, τόκος.

= στροφὴ ά. κώλων ς΄. =

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεί-
στα
Χρῆσις· ἔστιν δ' οὐρανίων ὑδάτων
Ὀμβρίων, παίδων νεφέλας.
Εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, με-
λιγάρυες ὕμνοι
Ὑστέρων ἀρχαὶ λόγων τέλλεται,
Καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

= ἀντιστροφὴ ά. κώλων ς΄. =

Ἀφθόνατος δ' αἶνος Ὀλυμπιονίκαις

Οὕτως ἄγκειται. Τὰ μὲν ἁμετέρα
Γλῶσσα ποιμαίνειν ἐθέλει.
Ἐκ Θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ ἐσαεὶ πραπίδεσσιν.
Ἴσθι νῦν, Ἀρχεστράτου παῖ, τεᾶς,
Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν

ἐπῳδὸς α. κώλων ι.

Κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας
Ἁδυμελῆ κελαδήσω, τῶν Ἐπι-
ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
Ἔνθα συγκωμάξατ'. Ἐγγυάσομαι
Μή μιν, ὦ Μοῖσαι, φυγόξενον στρατὸν,
Μηδ' ἀπείρατον καλῶν,
Ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξεσθαι. Τὸ γὰρ
Ἐμφυὲς, οὔτ' αἴθων ἀλώπηξ,
Οὔτ' ἐρίβρομοι λέοντες,
Διαλλάξαιντο ἦθος.

# ΠΙΝΔΑΡΟΥ

## Τῶν Πυθίων εἶδος ζ΄.

Μεγακλεῖ Ἀθηναίῳ τεθρίππῳ.

= στροφὴ. κώλων ζ΄. =

Κάλλιστον αἱ μεγαπόλιες Ἀθᾶναι
Προοίμιον Ἀλκμαιονιδᾶν
Εὐρυσθενεῖ γενεᾷ, κρηπῖδ᾽ ἀοιδᾶν
Ἵπποισι βαλέσθαι. Ἐπεὶ
Τίνα πάτραν; τίνα τ᾽ οἶκον
Ναίοντ᾽ ὀνυμάξομαι
Ἐπιφανέστερον Ἑλλάδι πύθεσθαι;

= ἀντιστροφὴ. κώλων ζ΄. =

Πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ

Ἐρε-

Ἐρεχθέος ἀστῶν, Ἀπόλ-
λων, οἳ τεόν γε δόμον Πυθῶνι δίᾳ
Θαητὸν ἔτευξαν. Ἄγον-
τι δέ με πέντε μὲν Ἰσθμοῖ
Νῖκαι· μία δ' ἐκπρεπὴς
Δίος Ὀλυμπίας· δύο δ' ἀπὸ Κίρ-
ρας,

= ἐπῳδός. κώλων θ'. =

Ὦ Μεγάκλεες, ὑ-
μαί τε καὶ προγόνων·
Νέᾳ δ' εὐπραγίᾳ
Χαίρω τι· τὸ δ' ἄχνυμαι,
Φθόνον ἀμειβόμενον
Τὰ καλὰ ἔργα. Φαντί γε μὰν,
Οὕτω κεν ἀνδρὶ παρ μονίμαν
Θάλλοισαν εὐδαιμονίαν,
Τὰ καὶ τὰ φέρεσθαι.

# ΘΕΟΚΡΙΤΟΥ

## Νομεὺς, ἢ Βουκόλοι
## Εἰδύλλιον θʹ.

ΔΑΦΝΙΣ, καὶ ΜΕΝΑΛΚΑΣ.

ΜΕ. Βωκολιάσδεο, Δάφνι. τὺ δ᾽ ᾠδᾶς ἄρχεο πρᾶτος
Ὠιδᾶς ἄρχεο πρᾶτος, ἐφεψάσθω δὲ Μενάλκας.
Μόσχως βωσὶν ὑφέντες· ἐπὶ στείραισι δὲ ταύρως.
Χ᾽οἱ μὲν ἁμᾶ βόσκοιντο, καὶ ἐν φύλλοισι πλανῷντο
Μηδὲν ἀπιμαγελεῦντες. ἐμὶν δὲ τὺ βωκολιάσδευ
Ἔμποθεν. ἄλλωθεν δὲ γ᾽ ὑποκρίνοιτο Μενάλκας.
ΔΑ. Ἁδὺ μὲν ἁ μόσχος γαρύεται,

ἁδὺ

ἁδὺ δὲ χ᾽ ἁ βῶς.
Ἁδὺ δὲ χ᾽ ἁ σύριγξ, χὠ βουκόλος· ἁδὺ δὲ κἠγών.
Ἐντὶ δέ μοι παρ᾽ ὕδωρ ψυχρὸν στιβάς· ἐν δὲ νένασται
Λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἁπάσας
Λὶψ κόμαρον τρωγοῖσας ἀπὸ σκοπιᾶς ἐτίναξε.
Τοῦ δὲ θέρευς φρυγόντος ἐγὼ τόσσον μελεδαίνω,
Ὅσον ἐρῶν τι πατρὸς μύθων, καὶ μητρὸς ἀκούειν.
Οὕτω Δάφνις ἄεισεν ἐμίν· οὕτω δὲ Μενάλκας.

ΜΕ. Αἴτνα μᾶτερ ἐμά, κἠγὼ καλὸν ἄντρον ἐνοικῶ
Κοίλαις ἐν πέτρῃσιν· ἔχω δέ τοι ὅσ᾽ ἐν ὀνείρῳ
Φαίνονται, πολλὰς μὲν ὄϊς, πολλὰς δὲ χιμαίρας,

Ὧν

Ὧν μοι πρὸς κεφαλᾶ καὶ παρ' ποσὶ κώεα κεῖται.
Ἐν πυρὶ δὲ δρυΐνῳ χορία ζεῖ, ἐν πυρὶ δ' αὖαι
Φαγοὶ χειμαίνοντος· ἔχω δέ τοι οὐδ' ὅσον ὤραν
Χείματος, ἢ νωδὸς καρύων ἀμύλοιο παρόντος,
Τοῖς μὲν ἐπεπλατάγητα, καὶ αὐτίκα δῶρον ἔδωκα.
Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτρεφεν ἀγρὸς
Αὐτοφυᾶ. τὰν οὐδ' ἂν ἴσως μωμάσατο τέκτων.
Τήνῳ δὲ στρόμβω καλὸν, ὄστρακον, ᾧ κρέας αὐτὸς
Σιτάθην, πέτραισιν ἐν Ἰκαρίαισι δοκεῦσας,
Πέντε ταμὼν, πέντ' οὖσιν. ὁ δ' ἐγκαναχήσατο κόχλῳ.
Βωκολικαὶ μῶσαι μάλα χαίρετε,

τε, φαίνετε δ' ᾠδὰν
Τὰν ποκ' ἐγὼ τήνοισι παρὼν ἄεισα νομεῦσι.
Μηκέτ' ἐπὶ γλώσσας ἄκρας ὀλοφυγδόνα φύσῃς.
Τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ.
Ἴρηκες δ' ἴρηξιν· ἐμὶν δ' ἁ μῶσα, καὶ ᾠδά.
Τᾶς μοι πᾶς εἴη πλεῖος δόμος· οὔτε γὰρ ὕπνος
Οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, οὔτε μελίσσαις
Ἄνθεα, ὅσσον ἐμὶν μῶσαι φίλαι. οὓς γὰρ ὁρῶσαι
Γαθεῦσιν, τὼς δ' οὔτι ποτῷ δαλήσατο Κίρκα.

ΤΕΛΟΣ.

BIBLIOTH: UNIV. JAGELLONICAE